κεκλημάτωται χλωρὸν οἰνάνθης δέμας·
εἶτ' ἦμαρ αὔξει μέσσον ὄμφακος τύπον
καὶ κλίνεταί γε κἀποπερκοῦται βότρυς
δείλῃ δὲ πᾶσα τέμνεται βλαστουμένη
ὀπώρα καλῶς κἀνακίρναται ποτόν.

Ὅτι οἱ τρεῖς τελευταῖοι στίχοι νοσοῦσι καὶ τυφλῷ δῆλον. Ἐκ τῶν γενομένων διορθώσεων πιθανὴν νομίζομεν τὴν τοῦ Ναυκίου διορθοῦντος *πεπαίνεταί τε* ἀντὶ τοῦ *καὶ κλίνεταί γε*. Ἡμεῖς δέ, ὅπως ἅπαν τὸ χωρίον εὐοδωθῇ, διορθοῦμεν τοὺς στίχους τούτους ὧδε·

πεπαίνεταί τε κἀποπερκοῦται βότρυς·
δείλῃ δὲ πᾶσ' ἀποτέμνεται βλαστοῦ μὲν ἡ
καλή γ' ὀπώρα κᾆτα κίρναται ποτόν.

8. Τοῦ αὐτοῦ ἀπ. 275.

τὸν Ἀίδαν γὰρ οὐδὲ γῆρας οἶδε φιλεῖν.

Ὁ Σμιδίτιος διορθοῖ τὸν στίχον τοῦτον ὧδε·

τὸν Ἀίδην γὰρ οὐδ' ὁ γηραιὸς φιλεῖ.

ἡμεῖς δὲ

τὸν Ἀίδην γὰρ οἶδεν οὐ γῆρας φιλεῖν.

9. Τοῦ αὐτοῦ ἀπ. 342.

Πόσειδον, ὃς Αἰγαίου μέδεις
πρῶνας ἢ γλαυκᾶς μέδεις.
εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι στομάτων

Τὸ προφανῶς ἐν τῷ τρίτῳ στίχῳ ἡμαρτημένον *στομάτων* ὁ μὲν Σμιδίτιος διώρθωσεν *ἐπωπῶν*, ὁ δὲ Ἔνιγγ *θοάζων*, ὁ δὲ Ἑρουερδῆνος *πολεύων*, ὁ δὲ Κόκκιος *σκοπέλων*, ἡμεῖς δὲ τὸ ὁμηρικὸν *πόντον ἐπ' ἰχθυόεντα φέρεν μεγάλα στενάχοντα* (ὀδ. 4,516.23,317) ἀναμνησθέντες γράφομεν τὸν τελευταῖον στίχον ὧδε·

εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι στενάχων.

10. Τοῦ αὐτοῦ ἀπ. 467

λόγῳ γὰρ ἕλκος οὐδὲν οἶδά που τυχεῖν.

Τὸν στίχον τοῦτον, ὃς παρὰ Σουίδᾳ φέρεται,

λόγῳ γὰρ οὐδὲν ἕλκος οἶδά που χανόν,

ὁ μὲν Μεινέκιος διορθοῖ

λόγῳ γὰρ ἕλκος οὐδὲν οἶδά πω μύσαν,

ὁ δὲ Κομπέρτζιος

λόγῳ γὰρ ἕλκος οὐδὲν οἶδά πω χανὸν
μεμυκέναι,

ὁ δὲ ἡμέτερος Π. Παπαγεώργιος

λόγῳ γὰρ ἕλκος οὐδὲν οἶδά που τυχὸν
τομῆς,

ὁ δὲ Σμιδίτιος

λόγῳ γὰρ ἕλκος οὐδὲν οὐλοῦται χανόν.

ὁ δὲ Ναύκιος

λόγῳ γὰρ ἕλκος οὐδὲν οἶδ' ἄκους τυχεῖν
(ἢ τυχὸν)

ἡμεῖς δὲ τὸ τοῦ Αἴαντος (στ. 581) ἀναμνησθέντες γράφομεν

λόγῳ γὰρ ἕλκος οὐδέν' οἶδά που τεμεῖν.

11. Τοῦ αὐτοῦ ἀπ. 469.

Ἴδης δή ποτε μηλοτρόφῳ
ἀγενναι τὴ εἰ τὴν τῆς Ἴδης
τριολύμπιον ἄρμα.

Τὸ ἀπόσπασμα τοῦτο διεσώθη ἐν τοῖς σχολίοις εἰς Εὐριπίδου Ἀνδρομάχην στ. 276, ἔνθα λέγονται τάδε· «ὁ Μαίας τε καὶ Διὸς τόκος· ὁ Ἑρμῆς. μέμνηται δὲ τῆς ἱστορίας ἐκείνης, ἔνθα περὶ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη παρὰ τῷ Πάριδι. τοιαῦτά ἐστι καὶ τὰ παρὰ Σοφοκλεῖ ἐν τοῖς Ποιμέσιν *Ἴδης-ἄρμα*».

Ἐκ τῶν ἐν τῷ σχολίῳ εἰκάζοντες διορθοῦμεν

Ἴδην δή ποτ' ἐς μηλοτρόφον
ἦγεν ὁ Μαίας Ζηνός θ' Ἑρμῆς
τριολύμπιον ἅρμα.

12. Τοῦ αὐτοῦ ἀπ. 494.

τάδ' ἐστὶ κνισμὸς καὶ φιλημάτων ψόφος,
τῷ καλλικοσσαβοῦντι νικητήρια
τίθημι καὶ βαλόντι χάλκειον κάρα,

Διορθωτέον

τάδ' ἐστὶ κνισμὸς καὶ φιλημάτων ψόφος,
τὰ καλλικοσσαβοῦντι νικητήρια
τίθημι καὶ βάλλοντι χάλκειον κάρα.

Ἡ σύνταξις· τάδ' ἐστὶ κνισμὸς καὶ φιλημάτων ψόφος, τὰ (= ἃ) τίθημι νικητήρια καλλικοσσαβοῦντι καὶ βάλλοντι χάλκειον κάρα.

13. τοῦ αὐτοῦ ἀπ. 511.

ἢ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν
οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων
πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν;
λεπταῖς ἐπὶ ῥιπῖσιν ἐμπολὰς μακρὰς
ἀεὶ παραρρίπτοντες οἱ πολύφθοροι
ἢ ἔσωσαν ἀκέρδαναν ἢ διώλεσαν.

Διορθωτέον καὶ στικτέον·

ἢ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν,
οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων
πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν,
λεπταῖς ὅτι ῥιπῖσιν ἐμπολὰς μακρὰς
ἀεὶ παραρρίπτοντες οἱ πολύφθοροι
ἢ ἔσωσαν ἀκέρδαναν ἢ διώλεσαν.

14. Τοῦ αὐτοῦ ἀπ. 598.

κόμης δὲ πένθος λαγχάνω πώλου δίκην,
ἥτις συναρπασθεῖσα βουκόλων ὕπο
μάνδραις ἐν ἱππείαισιν ἀγρίᾳ χερὶ
θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο,
σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν
ἴδῃ σκιᾶς εἴδωλον αὐγασθεῖσ' ὑπὸ
κουραῖς ἀτίμως διατετιλμένης φόβης.
φεῦ, κἂν ἀνοικτίρμων τις οἰκτίρειέ νιν

πτήσσουσαν αἰσχύναισιν οἷα μαίνεται
πενθοῦσα καὶ κλαίουσα τὴν πάρος φόβην.

Τὸ κάλλιστον τοῦτο ἀπόσπασμα περιῆλθεν ἡμῖν οὐκ ὀλίγον ὑπὸ τῶν ἀντιγραφέων λελωβημένον. Πολλοὶ οἱ ἐπιχειρήσαντες νὰ θεραπεύσωσι τὰ κακῶς ἔχοντα ἐν αὐτῷ, τελευταῖον δὲ ὁ Weil οὐχὶ ἀστόχως διώρθωσε τοὺς ἓξ τελευταίους στίχους γράψας

σπάσουσα δ' ἐν λειμῶνι ποταμίων πότων
ἴδῃ, σκιᾶς εἴδωλον αὐγασθεῖσ' ὑγρόν,
κουρὰς ἀτίμως διατετιλμένης φόβης·
φεῦ, κἂν ἀνοικτίρμων τις οἰκτίρειέ νιν
πτήσσουσαν αἰσχύναισιν οἷα μύρεται
πενθοῦσα καὶ κλαίουσα τὴν πάρος χλιδήν·

Καθ' ἡμᾶς δ' ὅμως μᾶλλον γραπτέον

σπῶσ' εἶτα δ' ἐν λειμῶνι ποταμίων ποτῶν
ἴδῃ, σκιᾶς εἴδωλον αὐγασθεῖσ' ὕπαρ,
κουρὰς ἀτίμως διατετιλμένης φόβης.

15. Τοῦ αὐτοῦ ἀπ. 620.

τὸ δ' εὐτυχοῦντα πάντ' ἀριθμήσας βροτῶν
οὐκ ἔστιν οὗτος ὅντιν' εὑρήσεις ἕνα.

Τὸ ἀδιανόητον τοῦτο ἀπόσπασμα πολλοὶ πολλαχῶς ἐπειράθησαν νὰ ἐπανορθώσωσι. Καὶ δὴ ὁ μὲν Γρότιος ἔγραψε *τὸν δ' εὐτυχοῦντα*, ὁ Π. Παπαγεώργιος *τὸν εὐτυχοῦντα*, ὁ Ἔγγερος *σὺ δ' εὐτυχοῦντα*, ὁ Κόβητος *διευτυχοῦντα*, ὁ Οὐεκλεῖνος *τοὺς δ' εὐτυχοῦντας*, ὁ Σμιδίτιος, *πᾶν εὐτυχοῦντα*· ἀντὶ δὲ τοῦ ἐν τοῖς χειρογράφοις *πάντ' ἀριθμῆσαι* ὁ μὲν Γρότιος ἔγραψε *πάντ' ἀριθμήσας*, ὁ δὲ Σμιδίτιος *πάντας ἀθρήσας*. Ἀντὶ δὲ τοῦ *οὗτος* ὁ μὲν Γεσνῆρος ἔγραψεν *ὄντως*, ὁ δὲ Σμιδίτιος *οἶκος ἢ ὀρθῶς*. Εἰ καὶ ὁ Ναύκιος desperat de restituendo loco, ἡμεῖς νομίζομεν ὅτι διορθωτέον τὸ χωρίον ὧδε·

ποῦ δ' εὐτυχοῦντα πάντ' ἂν ἀθρήσαις βροτόν;
οὐκ ἔστιν, οὗτος, ὅντιν' εὑρήσεις ἕνα.

16. Τοῦ αὐτοῦ ἀπ. 655.

κυνηδὸν ἐξέπραξαν κνυζούμενον

Συμπληρωτέον καὶ διορθωτέον τὸν στίχον ὧδε

κυνηδὸν ἐξέπραξά ν⟨ιν⟩ κνυζώμενον

Ὁ Ἑρουερδῆνος διορθοῖ *ἐξήραξα νιν*, ἀλλ' ἡμεῖς νομίζομεν ὅτι δὲν εἶνε ἀνάγκη νὰ διορθωθῇ τὸ *ἐξέπραξα* (= ἀπέκτεινα πρβλ. Οἰδ. Κ. 1655 καὶ Εὐρ. Ἑκ. 515).

17. Τοῦ αὐτοῦ ἀπ. 766.

Ἐκ τοῦ παρὰ Πλουτάρχῳ (περὶ τ. ἐκλελ. χρηστηρίων κ. 9 σ. 414) λεγομένων «πολλὰ καλὰ τοῦ θεοῦ διδόντος ἀνθρώποις, ἀθάνατον δὲ μηδέν· *ὥστε θνήσκειν καὶ τὰ θεῶν, θεοὺς δὲ οὔ*, κατὰ τὸν Σοφοκλέα» εἰκάζοντες φρονοῦμεν ὅτι ὁ Σοφοκλῆς ἔγραψεν ὧδε·

θνήσκειν μὲν οὖν τὰ τῶν θεῶν, θεοὺς δὲ μή.

18. Τοῦ αὐτοῦ ἀπ. 769.

τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν.

= τὰ πλεῖστα τῶν βροτῶν ἔργα πειρώμενος φωρᾶν φωράσεις αἰσχρά.

19. Τοῦ αὐτοῦ ἀπ. 808.

ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς
ἐν χειρὶ θήγει ἐν τάχει δ' ἀμβλύνεται.

Διορθωτέος ὁ δεύτερος στίχος ὧδε

ἐν χείρ' ἐθήχθη, σὺν τάχει δ' ἀμβλύνεται.

Ὅτι ἡ *μαλθακὴ* κοπὶς *ἐν χειρὶ θήγεται* γνωστὸν καὶ ἐκ τῶν νῦν κουρέων, οἵτινες πολλάκις τοὺς ξυροὺς θήγουσιν ἐν τῇ παλάμῃ αὐτῶν καὶ οὐχὶ ἐν ἀκόνῃ ἢ ἄλλῳ τινί. Ἀντὶ τῆς δευτέρας *ἐν* καὶ ὁ Ματθίας καὶ ἄλλοι ὀρθῶς ἔγραψαν *σύν*, τὸ δ' *ἐθήχθη* ὀρθῶς διώρθωσεν ὁ Οὐεκλεῖνος, δὲν εἶνε δ' ὅμως ἀνάγκη οὐδὲ ὀρθὸν νὰ διορθωθῇ ὁ στίχος

ταχεῖ' ἐθήχθη καὶ ταχεῖ 'ἀμβλύνεται.

20. Τοῦ αὐτοῦ ἀπ. 818.

ἐν τοῖσιν ἵπποις τοῖσιν ἐκλελεγμένοις
ἥδιον ἂν χωροῖμεν ἢ παντὶ σθένει.

ἀντὶ τοῦ *ἐν τοῖσιν*, ὅπερ ἄλλοι ἄλλως διορθοῦσιν, ἡμεῖς νομίζομεν γραπτέον *κέλησιν*.

21. Τοῦ αὐτοῦ ἀπ. 827.

⟨ὡς⟩ πάνσοφον κρότημα Λαέρτου γόνος.

Οὕτω νομίζομεν τὸν στίχον συμπληρωτέον.

22. Τοῦ αὐτοῦ ἀπ. 849.

μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος·
κλῇθρον γὰρ οὐδὲν ὧδ' ἂν εὐπαγὲς λάβοις,
γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.

Διορθωτέον

μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος·
κλῇθρον γὰρ οὐδὲν ὧδ' ἂν εὐπαγὲς λάβοι
γλῶσσ', ἧς κρυφαῖον οὐδὲ ἓν διέρχεται.

Περὶ τῆς συντάξεως τοῦ διέρχεσθαι μετὰ γενικῆς πρβλ. Ὁμ. Ἰλ. 20, 100 *πρὶν χροὸς διελθεῖν* κ. ἀ.

23. Τοῦ αὐτοῦ ἀπ. 855.

ὦ παῖδες, ἥ τοι Κύπρις οὐ Κύπρις μόνον,
ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος·
ἔστιν μὲν Ἅιδης, ἔστι δ' ἄφθιτος βία,
ἔστιν δὲ λύσσα μανιάς, ἔστι δ' ἵμερος
ἄκρατος, ἔστ' οἰμωγμός. ἐν κείνῃ τὸ πᾶν
σπουδαῖον, ἡσυχαῖον, εἰς βίαν ἄγον·
ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι
ψυχή· τίς οὐχὶ τῆσδε δεύτερος θεοῦ;

Τὸ ἐν τῷ ἑβδόμῳ στίχῳ *ἐντήκεται* εἶνε ἀδιανόητον· διὸ ὁ μὲν Μεινέκιος ἔγραψεν *ἐνθάπτεται*, ὁ δὲ Σμιδίτιος τὸν ὅλον στίχον μετέγραψεν *ἐντήκεται γὰρ τλημόνων, ὅσοις ἔνι ψυχῇ*. Ἡμεῖς δ' ὅμως ἀναμνησθέντες τὰ περὶ *Ἔρωτος* ἐν Ἀντιγόνῃ (στ. 781 κ. ἑ.) λεγόμενα ὑπὸ τοῦ αὐτοῦ ποιητοῦ φρονοῦμεν ὅτι ἀντὶ τοῦ *ἐντήκεται* γραπτέον *ἐντίκτεται*. Τὸ δὲ ἐν τῷ 8ῳ στίχῳ *δεύτερος* εἶνε διόρθωσις τοῦ Ναυκίου, ἐν τοῖς κώδιξι SM καὶ A ὄντος *τίς οὐχὶ τῆσδε τῆς θεοῦ βορός*; Ἀντὶ τοῦ *βορός* ἡμεῖς γραπτέον νομίζομεν *φορός*. Οὕτω δὲ ἡ φράσις *τίς οὐχὶ τῆσδε τῆς θεοῦ φορός*; (= τίς οὐχὶ τήνδε τὴν θεὸν φέρει;) ἐπιφέρεται πρὸς ἐπιβεβαίωσιν τῶν προηγουμένων *ἐντίκτεται γὰρ* κλπ.

24. Τοῦ αὐτοῦ ἀπ. 864.

οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς
θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος.

Τὸν δεύτερον στίχον ὁ Ναύκιος λέγει graviter corruptum, necdum sanatum. Τελευταῖον δὲ ὁ Weil λέγει· il me semble que le sens doit être: il n'est pas de viellesse pour les sages dont l'esprit a été mûri par une longue experience. Le seul mot à changer est donc θείᾳ; il ne faut pas toucher à ἡμέρᾳ. Sophocle dit ailleurs ἡ που παλαιᾷ μὲν ἔντροφος ἁμέρᾳ (Αἴ. 131)· il aura écrit ici γραίᾳ... ἡμέρᾳ ou πολιᾷ... ἡμέρᾳ. Je m'arrête à cette dernière conjecture par de raisons paléographiques. Supposons la shute de la première lettre de vers ΟΛΙΛΙ qui ne présentait plus de sens, pouvait être changé en ΘΕΙΑΙ. Ἡμεῖς νομίζομεν, ὅτι ἂν ἡ λέξις *ἡμέρᾳ* μεταφορικῶς ληφθῇ ὡς συνώνυμος τῷ *φωτί*, ὡς καὶ νῦν αὐτῇ χρώμεθα, οὐ μόνον οὐδεμιᾶς διορθώσεως ὁ στίχος δεῖται ἀλλὰ καὶ νοῦν σαφῆ παρέχει.

25. Τοῦ αὐτοῦ ἀπ. 1019.

. . . .
ταῦτ' οὖν φυλαξώμεσθα καὶ μοχθητέον,
ὦ παῖδες, ὡς ἂν μήτ' ἀπαιδεύτων βροτῶν
δοκῶμεν εἶναι κ ἀ π ο δ η μ ο ῦ ν τ ο ς πατρός.

Τὸ *κἀποδημοῦντος* ἐνταῦθα οὐδένα λόγον ἔχει· διὸ ὁ μὲν Μ. Σμιδίτιος ἔγραψε *κἀποληροῦντος* ὁ δὲ Φ. Γ. Σμιδίτιος *κἀπὸ ληροῦντος* ὁ δὲ Οὐεκλεῖνος *κἀπὸ δημότου*. Ἡμεῖς νομίζομεν ὅτι ὁ Σοφοκλῆς ἔγραψε *κἀπολημῶντος* (=*μήτε ἀπολημῶντος*) δῆλον ὅτι *ἐσκοτισμένου τὰς φρένας* ὡς λέγει ὁ Σουίδας ἐν λέξει *λήμη* ἑρμηνεύων τὸ Ἀριστοφάνειον (Πλούτ. 581) ὦ *κρονικαῖς γνώμαις*... *λημῶντες τὰς φρένας*.

26. Εὐριπίδ. ἀπ. 29.

σιγᾶν φρονοῦντα κρείσσον' εἰς ὁμιλίαν
πεσόντα· τούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος
μήτε ξυνείην, ὅστις αὐτάρκη φρονεῖν
πέποιθε δούλους τοὺς φίλους ἡγούμενος.

Ὁ μὲν ἀοίδιμος Κόβητος τοὺς δύο πρώτους στίχους διώρθωσεν ὧδε

σιγᾶν φρονοῦντα κρεῖσσον ἢ ἐς αὐθαδίαν
πεσεῖν· τοιούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος.

ὁ δὲ Γομπέρτζιος

⟨φήμ' ἐγὼ⟩
σιγᾶν φρονοῦντα κρείσσον' εἰς ὁμιλίαν
πεσόντα

Ἡμεῖς δὲ τὸ μὲν πρῶτον κῶλον νομίζομεν ἴσον τοῖςδε· *εἰς ὁμιλίαν πεσὼν κρείσσονι καὶ φρονῶν σίγα*· ἀντὶ δὲ τοῦ *τούτῳ δὲ* νομίζομεν γραπτέον *τοιῷδ'*.

27. Τοῦ αὐτοῦ ἀπ. 92.

ἴστω τ' ἄφρων ὢν ὅστις ἄνθρωπος γεγὼς
δῆμον κολούει χρήμασιν γαυρούμενος·

Πολλοὶ τῶν κριτικῶν νομίζοντες, ὅτι ἡ λέξις *ἄνθρωπος* ἐνταῦθα δὲν ἔχει καλῶς, διορθοῦσιν ὁ μὲν *ὄλβιος*, ὁ δὲ *ἀρχός*, ὁ δὲ *αὐθάδης*. Ἡμεῖς νομίζομεν ὅτι οὐδεμία ἀνάγκη διορθώσεως ὑπάρχει, τὸ δὲ χωρίον ταυτὸν τῷ *πᾶς ὅστις ἄνθρωπος ὢν* (εἰδὼς δῆλον ὅτι τὸ ἄστατον τῶν ἀνθρωπίνων πραγμάτων) *πλούτῳ ἐπαίρεται καὶ διὰ τοῦτο κολούει δῆμον ἴστω ὅτι ἄφρων ἐστίν*.

28. Τοῦ αὐτοῦ ἀπ. 150.

οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν,
ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συνθέλει.

Ὅτι νοσεῖ ὁ β' στίχος φανερόν. Καὶ ὁ μὲν Πόρσων ἀντὶ τοῦ *ὃν* διορθοῖ *ᾧ*, ὁ δὲ Σευφφέρτιος ἀντὶ τοῦ *ὡς* γράφει *εἰς*, ὁ δὲ Ἐϊμσοίθιος ἀντὶ τοῦ *πολλὰ συνθέλει* προτείνει *πόλλ' ἐπωφελεῖ*, ὁ δὲ Μοῦνρος, *πόλλ' αὔξειν θέλει*, ὁ δὲ Ἕνσιος *πολλὰ συστελεῖ*. Ἡμεῖς νομίζομεν ὅτι πρέπει νὰ γραφῇ

ᾧ μὴ τὸ θεῖον εὖ τὰ πολλὰ συντελεῖ.

29. Τοῦ αὐτοῦ ἀπ. 154.

Α. τὸ ζῆν ἀφέντες τὸ κατὰ γῆς τιμῶσί σου.
Β. κενόν γ' ὅταν γὰρ ζῇ τις, εὐτυχεῖ χρεών.

Ὀρθῶς ὅ τε Γρότιος καὶ Ἕγγερος διώρθωσαν *ἀφέντος* ἀντὶ τοῦ *ἀφέν-*

τες καὶ ὁ Μουσγράβιος *εὐτυχεῖν* ἀντὶ τοῦ *εὐτυχεῖ*. Ἡμεῖς δ' ὅμως νομίζομεν ὅτι καὶ τὸ *τιμῶσι* νοσεῖ. Διορθωτέον λοιπὸν *τίσουσι* ἀντὶ τοῦ *τιμῶσι*.

30. Τοῦ αὐτοῦ ἀπ. 169.

⟨φεῦ, φεῦ⟩ ἐπ' ἄκραν ἥκομεν γραμμὴν κακῶν.

Οὕτω νομίζομεν συμπληρωτέον τὸν στίχον.

31. Τοῦ αὐτοῦ ἀπ. 172.

οὔτ' εἰκὸς ἄρχειν οὔτ' ἐχρῆν εἶναι νόμον
τύραννον εἶναι· μωρία δὲ καὶ θέλειν
ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

Ὅπως τὸ χωρίον παράσχῃ νοῦν τινά, νομίζομεν ὅτι πρέπει νὰ διορθωθῇ ὁ α' στίχος ὧδε·

οὔτ' εἰκὸς ἀρχὴν οὔτ' ἐχρῆν, οἶμαι, νόμῳ
τύραννον εἶναι· μωρία δὲ καὶ θέλειν.

ὅπερ ἴσον τῷ *οὔτ' εἰκὸς οὔτ' ἐχρῆν, οἶμαι, νόμῳ τύραννον ἀρχὴν εἶναι· ὃς δὲ τῶν ὁμοίων βούλεται κρατεῖν μόνος, εἰ ἐθέλει τύραννον ἀρχὴν εἶναι, μωρός ἐστιν*.

32. Τοῦ αὐτοῦ ἀπ. 175.

ὅστις δὲ πρὸς τὸ πῖπτον εὐλόφως φέρει,
τὸν δαίμον 'οὗτος ἧσσόν ἐστιν ἄθλιος.

Οὕτω μᾶλλον στικτέον

ὅστις δὲ πρὸς τὸ πῖπτον εὐλόφως φέρει
τὸν δαίμονα (=τύχην), οὗτος ἧσσόν ἐστιν ἄθλιος.

33. Τοῦ αὐτῶν ἀπ. 201.

καὶ μὴν ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν
ἀσκοῦσι βίοτον, ἣν σφαλῶσι χρημάτων,
κακοὶ πολῖται· δεῖ γὰρ ἄνδρ' εἰθισμένον
ἀκόλαστον ἦθος γαστρὸς ἐν ταυτῷ μένειν.

Πολλοὶ νομίζουσιν ὅτι ὁ τελευταῖος στίχος εἶνε ἐφθαρμένος· καθ' ἡμᾶς οὐδεμία φθορὰ ὑπάρχει, διότι ἡ φράσις *δεῖ - μένειν = δεῖ γὰρ τὸν εἰθισμένον ἀκόλαστον ἔχειν τὴν γαστέρα ἀεὶ τὸν αὐτὸν εἶναι*. Ὁμοίως

καὶ ἡμεῖς νῦν λέγομεν *νὰ κλαίῃς τὸν καλομαθημένον ἄνθρωπον καὶ ὄχι τὸν κακομαθημένον*.

34. Τοῦ αὐτοῦ ἀπ. 228.

Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατὴρ
Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ
. . . . , .
ἐλθὼν ἐς Ἄργος ᾤκισ' Ἰνάχου πόλιν,

Πασῶν τῶν εἰκασιῶν τῶν γενομένων ἐπὶ τοῦ χωρίου τούτου ἡ μᾶλλον τοῖς συμφραζομένοις ἁρμόζουσα εἶνε ἡ τοῦ Λουζακίου ἐν γύαις ἀντὶ τοῦ ἐκ γαίας. Νομίζομεν δ' ὅμως ὅτι τὸ ΕΚ ΓΑΙΑϹ μᾶλλον προῆλθεν ἐκ φθορᾶς τοῦ ΕΙϹ ΓΥΑϹ ἢ τοῦ ΕΝ ΓΥΑΙϹ. Τὸ *εἰς γύας* (= εἰς τοὺς ἀγροὺς) ἀποδοτέον τῷ *κάλλιστον* (= ὠφελιμώτατον).

35. Τοῦ αὐτοῦ ἀπ. 255.

δοκεῖς τὰ τῶν θεῶν ξυνετὰ νικήσειν ποτὲ
καὶ τὴν Δίκην που μάκρ' ἀπῳκίσθαι βροτῶν·
ἣδ' ἐγγύς ἐστιν, οὐχ ὁρωμένη δ' ὁρᾷ
ὃν χρὴ κολάζειν τ' οἶδεν· ἀλλ' οὐκ οἶσθα σὺ
ὁπόταν ἄφνω μολοῦσα διολέσῃ κακούς.

Ὁ α' στίχος μετρικῶς δὲν ὑγιαίνει· διὸ γραπτέον

δοκεῖς θεῶν τὰ ξυνετὰ νικήσειν ποτέ.

36. Τοῦ αὐτοῦ ἀπ. 271.

πτηνὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας
οὐχ ἡ τύχη γε· τῆς τύχης δ' οὐχ εἷς τρόπος.

Τὴν ἀρχὴν τοῦ δευτέρου στίχου ὁ μὲν Ἑρμαννὸς διώρθωσεν *ἔχει τύχη σε*, ὁ δὲ Εἴμσοίθιος *αὐχῶν τύχῃ γε*, ὁ δὲ Ἑρουερδῆνος *οὐκ ηὐτύχησα* ἀποδιδοὺς ἅμα τὸν στίχον τοῦτον εἰς ἄλλο πρόσωπον. Ἡμεῖς δὲ γράφομεν

εὔχου τύχῃ γε· τῆς τύχης δ' οὐχ εἷς τρόπος

37. Τοῦ αὐτοῦ ἀπ. 282.

κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα

οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους·
οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ
οὔτ' ἂν δύναιντο· πῶς γὰρ ὅστις ἔστ' ἀνὴρ
γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος
κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;
οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις
οἷοί τ'· ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ
σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανον.
λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα
φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρόν,
τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας.

Τὸ ἐν τῷ 6ῳ στίχῳ *εἰς ὑπερβολὴν πατρὸς* εὕρηται παρ' Ἀθηναίῳ, παρὰ δὲ Γαληνῷ φέρεται ἡ γραφὴ *εἰς ὑπεκτροφὴν πάτρας*. Ὁ Ἐρουερδῆνος ἀποδεχόμενος τὴν γραφὴν *πάτρας* καὶ νομίζων ὅτι προσδοκᾶται ἡ ἔννοια ad patriae utilitatem et auxilium διορθοῖ

κτήσαιτ' ἂν ὄλβον εἰς ἐπάρκεσιν πάτρας;

Ἡμεῖς νομίζομεν ὅτι ὁ Εὐριπίδης ἔγραψεν *οὐχὶ εἰς ὑπερβολὴν πατρὸς* οὐδὲ *εἰς ἐπάρκεσιν πάτρας*, ἀλλ' *εἰς ὑποστροφὴν πάτρας*, ὡς μαρτυρεῖ ἡ παρὰ Γαληνῷ κακῶς ὑπὸ τῶν ἀντιγραφέων ἀναγνωσθεῖσα γραφὴ *εἰς ὑπεκτροφὴν πάτρας*. Ὅτι δὲ ἡ λέξις συνήθης τοῖς τραγικοῖς καὶ πεζοῖς πρβλ. Σοφ. Οἰδ. Τ. 134. Εὐρ. Ἰφ. Τ. 671. Ξεν. Ἑλλ. 5, 2, 9. Δημοσθ. 12, 1. Ἐν τῇ αὐτῇ σημασίᾳ εὕρηται τὸ *ἐπιστρέφεσθαι* ἐν Σοφ. Φιλ. 595, Δημ. 10,9 *οὐδὲ ἐφροντίσατε οὐδὲ ἐπεστράφητε ἐπ' οὐδενὶ τούτων*. Καὶ τὸ *ἐπίστροφος* παρ' Ὁμήρῳ (Ὀδ. 1,177), ὅπερ ὁ Σχολ. ἑρμηνεύει *ἐπιστροφὴν καὶ ἐπιμέλειαν ἐποιεῖτο ἀνθρώπων*. Καὶ τὸ ἁπλοῦν *στρέφεσθαι* (=φροντίζειν) εὕρηται παρὰ Σοφοκλεῖ ἐν Οἰδ. Τ. 788. Αἰ. 1117. Καὶ ἡ νῦν δὲ συνήθεια ὁμοίως λέγει (ὁ δεῖνα) *δὲν ἐγύρισε νὰ κυττάξῃ* (οὐκ ἐπεστράφη ἢ οὐδεμίαν ἐπιστροφὴν ἐποιήσατο) *τὴν πατρίδα του, τὸν πατέρα του, τὴν μητέρα του, τοὺς συγγενεῖς του, κανένα*. Πρὸς τὰ ἐν στίχῳ 10 κ. ἑ. πρβλ. Ξεν. ἀπομ. 2, 1, 31.

38. Τοῦ αὐτοῦ ἀπ. 285.

. . . .

ὁ μὲν ζάπλουτος, εἰς γένος δ' οὐκ εὐτυχής,

7 ἀλγεῖ μὲν ἀλγεῖ, παγκάλως δ' ἀ λ γ ύ ν ε τ α ι
ὄλβου διοίγων θάλαμον ἥδιστον χερί.

Ὅτι τὸ *ἀλγύνεται* μετὰ τὸ διπλοῦν *ἀλγεῖ* οὐδένα λόγον ἔχει, πᾶς τις ὁμολογεῖ. Διὸ ὁ μὲν Ἑρμαννὸς διώρθωσε τὸν στίχον

ἀλγεῖ μέν, ἄλγος δ' εὐκόλως ἀμύνεται

ὁ δὲ Βάδαμος

ἀλγεῖ μέν, ἄλγει παγκάλως δ' ἀμύνεται

ὁ δὲ Ἔγγερος

γένει μὲν ἀλγεῖ, παγκάλως δ' ἀγάλλεται

καὶ ἄλλοι ἄλλως.

Ἡμεῖς νομίζομεν ὅτι ὁ Εὐριπίδης ἀντὶ τοῦ *ἀλγύνεται* ἔγραψεν *ἁβρύνεται* = σεμνύνεται, θρύπτεται, καυχᾶται. Ὅτι ἡ λέξις συνήθης πρβλ. Αἰσχ. Ἀγ. 1178. Σοφ. Οἰδ. Κ. 1341. Εὐρ. Ἰφ. Α. 867. κλπ.

39. Τοῦ αὐτοῦ ἀπ. 316.

γύναι, καλὸν μὲν φέγγος ἡλίου τόδε,
καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,
γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ
πολλῶν τ' ἔπαινον ἔστι μοι λέξαι καλῶν·
ἀλλ' οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλὸν
ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις
παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν θάλος.

Ὁ 3ος στίχος πολλὰ πράγματα παρέσχε τοῖς κριτικοῖς. Καὶ ὁ μὲν Μεινέκιος ἀντὶ τοῦ *πλούσιον θ' ὕδωρ* ἔγραψε *ποτάμιον δ' ὕδωρ*, ὁ δὲ Σχνειδεβῖνος *πλούσιον θάλος*, ὁ δὲ Ναύκιος ὀρθῶς ὑπέλαβεν ὅτι τὸ παρ' Ἡσυχίῳ 3, σελ. 347 *πλούσιον θαλασσιοειδές, οἱ δὲ τὸ ὕδωρ*, ὅπερ διορθοῖ *πλούσιον θάλος· εὐειδές· οἱ δὲ «θ' ὕδωρ»* εἰς τοῦτο τὸ χωρίον ἀναφέρεται. Καθ' ἡμᾶς τὸ τοῦ Ἡσυχίου, ὅπερ βεβαίως, ὡς ἔχει, εἶνε παρεφθαρμένον, μαρτυρεῖ ὅτι τὸ χωρίον τοῦ Εὐριπίδου ἔχει καλῶς καὶ ὅτι τὸ *πλούσιον* καὶ ἐκ τῶν ἀρχαίων οἱ μὲν συνῆπτον τῷ *θάλλουσα* οἱ δὲ τῷ *ὕδωρ*. Ὥστε τὸ τοῦ Ἡσυχίου χωρίον εἶχε καθ' ἡμᾶς οὐχὶ ὡς ὁ Ναύκιος φρονεῖ ἀλλ' ὧδε· *πλούσιον θάλλουσα, οἱ δὲ τῷ ὕδωρ*, ὅπερ σημαίνει ὅτι οἱ μὲν τὸ *πλούσιον* συνάπτουσι τῷ *θάλλουσα*, οἱ δὲ τῷ *ὕδωρ*. Τὸ *θαλασσιοειδὲς* προφανῶς προέκυψεν ἐκ τοῦ *θάλλουσα* καὶ διττογραφίας τοῦ *οἱ δέ*.

40. Τοῦ αὐτοῦ ἀπ. 321.

ἦν γάς τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι,
εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον
ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα.

Ἐὰν ὁ πρῶτος στίχος δεῖται διορθώσεως, καθ' ἡμᾶς ἔχοντας πρὸ ὀφθαλμῶν τὸ ἀπ. 333 *φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει* διορθωτέον *παλαιὸς* ἀντὶ τοῦ *ἦν γάρ τις*.

Τοῦ αὐτοῦ ἀπ. 322.

ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ·
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα,
φεύγει δὲ μόχθους· ἓν δέ μοι τεκμήριον·
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε.

Τὸ *ἡβητὴς* ἄλλοι ἄλλως διώρθωσαν (*ἐγκρατής*, *δεσπότης*, *εὐπετής*, *ἀβροβάτης*). Καθ' ἡμᾶς, ἐὰν ἦτο ἀνάγκη διορθώσεως, μόνον *ἡγητὴς* (= *ἡγητήρ*), ὡς καὶ παρ' Αἰσχ. Ἰκ. 236 εὕρηται, ἦτο δυνατὸν νὰ διορθωθῇ, ἀλλὰ τοῦτο δὲν νομίζομεν ἀναγκαῖον, διότι τὸ *ἡβητὴς* (= ποιῶν ἡβᾶν) ἐνταῦθα κάλλιστα κεῖται ἐν τῇ σημασίᾳ, ἣν ἔχει τὸ *ἡβᾶν* ἐς τῷ γνωστῷ ἐκείνῳ τοῦ Σιμωνίδου (;) σκολίῳ

ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνητῷ·
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως
καὶ τὸ τέταρτον ἡ β ᾶ ν μετὰ τῶν φίλων.

41. Τοῦ αὐτοῦ ἀπ. 326.

ἆρ' οἶσθ' ὁθούνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν
πένητες ὄντες οὐδὲν ἀλφάνουσ' ἔτι,
οἱ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν
καὶ συμπλέκοντες σπέρμα καὶ γάμους τέκνων;
δοῦναι δὲ πᾶς τις μᾶλλον ὀλβίῳ κακῷ
πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ·
κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι.

Καὶ οἱ δύο *καὶ* ἐν τῷ πέμπτῳ στίχῳ οὐδένα λόγον ἔχουσιν. Διὰ τοῦτο ἀντὶ τοῦ πρώτου ὁ Ἔγγερος ἔγραψεν *εὖ*, ὁ δὲ Ἔνσιος ἀντὶ τοῦ *καὶ γάμους* διώρθωσε *γενναῖον*. Καθ' ἡμᾶς ὁ στίχος διορθωτέος

καταπλέκοντες σπέρμα σὺν γάμοις τέκνων,

Ἡ *σὺν* παρὰ ποιηταῖς πρὸς δήλωσιν τῆς βοηθείας ἢ τοῦ τρόπου συνήθης. πρβλ. Σοφ. Αἰ. 833, 1245. Φιλ. 1335. Οἰδ. τ. 124. 643, 657. Εὐρ. Ἡρ. Μ. 1303 κ. ἀ.

42. Τοῦ αὐτοῦ ἀπ. 534.

τὰς οὐσίας γὰρ μᾶλλον ἢ τὰς ἁρπαγὰς
τιμᾶν δίκαιον· οὔτε γὰρ πλοῦτός ποτε
βέβαιος ἄδικος

Ὁ α' στίχος δικαίως λέγει ὁ Ναύκιος ὅτι graviter laborat. Οὔτε ἡ τοῦ Ἑρουερδήνου διόρθωσις *ὁσίους τρόπους γὰρ* οὔτε ἡ τοῦ Ἑϊμσοιθίου *τὰς οὖν δίκας γε* φαίνεταί μοι πιθανή. Πιθανὴ θὰ ἦτο ἡ τοῦ Βοθίου διόρθωσις *οὔτι* ἀντὶ τοῦ *οὔτε*, ἂν μὴ ἐπήρχετο ἕτερον *οὔτε*. Ὀρθῶς ἔχει ἡ τοῦ Κοβήτου μετάθεσις τῶν δύο τελευταίων λέξεων. Καθ' ἡμᾶς ὁ Εὐριπίδης ἔγραψε τὸν πρῶτον στίχον ὧδε

τἀξουσίᾳ γὰρ μᾶλλον ἢ τἀξαρπαγῆς

ὅπερ ταὐτὸν τῷ *ἃ γὰρ ἔξεστιν ἔχειν μᾶλλον ἢ τὰ ἐξ ἁρπαγῆς τιμᾶν δίκαιον*.

43. Τοῦ αὐτοῦ ἀπ. 359.

θετῶν δὲ παίδων ποῦ κράτος; τὰ φύντα γὰρ
κρείσσω νομίζειν τῶν δοκημάτων χρεών.

Ὁ Ἑρουερδῆνος ἀντὶ τοῦ *τῶν δοκημάτων* διορθοῖ τῶν *ἐπικτήτων* ἢ *μὴ προσηκόντων*. Οὐδεμία ἀνάγκη διορθώσεως, διότι *δοκήματα* ἐνταῦθα λέγονται ἐν ἀντιθέσει πρὸς τὰ *φύντα* οἱ θετοὶ παῖδες, διότι *δοκοῦσι μὲν εἶναι παῖδες, πεφύκασι δ' οὔ*.

44. Τοῦ αὐτοῦ ἀπ. 361.

ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας
ζῆν φημὶ μᾶλλον τοῦ βλέπειν τοὺς μὴ καλῶς

Ὀρθῶς λέγει ὁ Ναύκιος, ὅτι ὁ Σαλμάσιος conjecit *τοῦ βλέποντος μὴ καλῶς* invita sententia pariter ac metro· ἄλλοι προέτειναν *τοῦ βλέ-*

ποντος οὐ καλῶς ἢ τῶν βλεπόντων μὴ καλῶς· ὁ δὲ Ναύκιος νομίζει γραπτέον τὸν β′ στίχον·

ζῆν φημί, ⟨φημὶ⟩ δ' οὐ βλέπειν τοὺς μὴ καλῶς

Ἡμεῖς δὲ νομίζοντες ὅτι ὡς δεύτερος ὅρος τῆς συγκρίσεως τοῦ *μᾶλλον* ὑπονοεῖται ἐκ τῶν συμφραζομένων τὸ *ἢ τεθνηκέναι*, τὸ δὲ *βλέπειν* κεῖται ἐνταῦθα ἐν τῇ σημασίᾳ τοῦ *ζῆν* (πρβλ. ἀπ. 371. 835. 1013) διορθοῦμεν ἢ μᾶλλον ἀναγινώσκομεν

ζῆν φημὶ μᾶλλον κ ο ὐ βλέπειν τοὺς μὴ καλῶς.

(δηλονότι τεθνηκότας).

45. Τοῦ αὐτοῦ ἀπ. 403.

τίς ἄρα μήτηρ ἢ πατὴρ κακὸν μέγα
βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον;
ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος;
ἐν χερσὶν ἢ σπλάγχνοισιν ἢ παρ' ὄμματα;
ἔσθ' ἡμῖν ὡς ἦν μόχθος ἰατροῖς μέγας
τομαῖς ἀφαιρεῖν ἢ ποτοῖσι φαρμάκοις
πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.

Ἐν τῇ ἀρχῇ τοῦ τρίτου στίχου ὁ μὲν Οὐαλκενάριος εἴκασεν *τί δή ποτ' οἰκεῖ*, ὁ δὲ Κόβητος *τί ποτε κατοικεῖ*, ὁ δὲ Οὐεκλεῖνος *τί καί ποτ' οἰκεῖ ἢ ποῦ ποῖον οἰκεῖ*, ὁ Μεκλῆρος *ποῦ καὶ τί θακεῖ*. Ἡμεῖς νομίζομεν ὅτι μόνον πρέπει νὰ μετατεθῶσιν ἐναλλὰξ αἱ δύο λέξεις *ποῦ καί*. Ὁ δὲ ε′ στίχος ὢν μετρικῶς ἡμαρτημένος διωρθώθη *ἔσθ' ἡμὶν ἢ ἧμιν*, ὅπερ, ὡς ὀρθῶς ὁ Ναύκιος παρατηρεῖ, δὲν ἐξαρκεῖ, καὶ ὑπ' ἄλλων ἄλλως, ὧν οὐδεὶς κατὰ τὴν γνώμην ἡμῶν ηὐστόχησε. Διορθωτέον καθ' ἡμᾶς τοὺς τρεῖς τελευταίους στίχους καὶ στικτέον ὧδε·

ἔ σ τ α ι ν ι ν ὡς ἦν μόχθος ἰατροῖς μέγας
τομαῖς ἀφαιρεῖν ἢ ποτοῖσι φαρμάκοις,
πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.

46. Τοῦ αὐτοῦ ἀπ. 410.

τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν
ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται,
τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθαλμοὺς ἔχει.

Διορθωτέον

τοιάνδε χρὴ γυναικὶ προσπολεῖν ἐρᾶν,
ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται,
τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθαλμοὺς λέγει.

Τὰς γενομένας διορθώσεις ἐν τῷ χωρίῳ τούτῳ παραλείπομεν, περὶ δὲ τοῦ *κατ' ὀφθαλμοὺς λέγειν* πρβλ. Ἀριστ. Βάτ. 626 καὶ Ξεν. Ἱέρ. 1, 14.

47. Τοῦ αὐτοῦ ἀπ. 468.

τὰ δ' ἄλλα χαῖρε κύλικος ἑρπούσης κύκλῳ

πρβλ. τὸ τῆς συνηθείας ἄς γυρίζῃ ἢ ἄς φέρῃ γῦρον ἡ τσίτσα (ξύλινον οἰνηρὸν σκεῦος, βομβύλη) ἢ τὸ ποτῆρι.

48. Τοῦ αὐτοῦ ἀπ. 495.

τίς ἦν ὁ τυφλὰ τάδε βέλεμν' ἐφεὶς ἐμοί;
ὡς δ' οὐκ ἐφαινόμεσθα, σῖγα δ' εἴχομεν,
πρόσω πρὸς αὐτὸν πάλιν ὑποστρέψας πόδα
χωρεῖ δρομαῖος, θῆρ' ἑλεῖν πρόθυμος ὤν,
βοᾷ δέ· κἂν τῷδ' ἐξεφαινόμεσθα δὴ
ὀρθοσταδὸν λόγχαις ἐπείγοντες φόνον.

Ὁ ἕκτος στίχος μετρικῶς νοσεῖ· διὸ ὁ Βλάσιος γράφει *λόγχαισι τεύξοντες* ἀντὶ τοῦ *λόγχαις ἐπείγοντες*, ἡμεῖς δὲ προτιμῶμεν *λόγχαισιν οἴσοντες*. Πρβλ. Ὁμ. Ἰλ. 17. 757. 2,352. 3. 6 κ. ἀ.

49. Τοῦ αὐτοῦ ἀπ. 522.

εἰ κερκίδων μὲν ἀνδράσιν μέλος πόνος,
γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί,
[ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες]
κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὔθ' ἡμεῖς ἔτι.

Ἐκβλητέος ὁ τρίτος στίχος ὡς σχόλιον τοῦ τετάρτου.

50. Τοῦ αὐτοῦ ἀπ. 533.

τερπνὸν τὸ φῶς τόδ'· ὁ δ' ὑπὸ γῆς Ἅιδου σκότος
οὐδ' εἰς ὄνειρον ἡδὺς ἀνθρώποις μολεῖν·
ἐγὼ μὲν οὖν γεγῶσα τηλικήδ' ὅμως
ἀπέπτυσ' αὐτὸ κοὔποτ' εὔχομαι θανεῖν.

Ἀντὶ τοῦ ἐν τῷ τετάρτῳ στίχῳ *αὐτὸ* προτιμῶ *αὐτόν*, τὸν σκότον δῆλον ὅτι.

51. Τοῦ αὐτοῦ ἀπ. 536.

φεῦ, τὰ τῶν εὐδαιμονούντων ὡς τάχιστα στρέφει θεός.

Νομίζω ὅτι ὁ Εὐριπίδης ἔγραψεν

φεῦ φεῦ, τὰ τῶν εὐδαιμονούντων ὡς ταχὺ
στρέφει θεός.

52. Τοῦ αὐτοῦ ἀπ. 568.

τὰς βροτῶν
γνώμας σκοπῶν ὥστε Μαγνῆτις λίθος
τὴν δόξαν ἕλκει καὶ μεθίησιν πάλιν.

Διορθωτέον

τὰς βροτῶν
γνώμας ἐτάζων ὥστε Μαγνῆτις λίθος
τήνδ' ἐξανέλκει καὶ μεθίησιν πάλιν.

53. Τοῦ αὐτοῦ ἀπ. 598.

ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστῳ φρενὶ
ἔρριψεν ὅστις τόνδ' ἐκαίνισεν λόγον
ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.

Ὀρθῶς ὁ Βιλαμοβίτσιος διεῖδεν ὅτι αἱ λέξεις *ὁ πρῶτος εἰπὼν* δὲν εἶνε τοῦ Εὐριπίδου. Γραπτέον λοιπὸν ὡδέ πως

⟨οὐκ ἀστόχως ἄρ'⟩ οὐδ ἀγυμνάστῳ φρενὶ

Περὶ δὲ τοῦ *ἔρριψεν* ὅτι ἔχει ὑγιῶς πρβλ. Αἰσχ. Προμ. 312 *τραχεῖς καὶ τεθηγμένους λόγους ῥίψεις* καὶ Εὐρ. Ἑκ. 835 *μάτην ῥιφέντες λόγοι*.

54. Τοῦ αὐτοῦ ἀπ. 602.

τί χρῆμα δράσας; φράζε μοι σαφέστερον

μήπως;

τί χρῆμ' ἔδρασας; φράζε μοι σαφέστερον.

55. Τοῦ αὐτοῦ ἀπ. 640.

. . . ἀνθρώπων δὲ μαίνονται φρένες,
δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς.

Συμπλήρου καὶ διόρθου τὸν πρῶτον στίχον

ἐσθλῶν περ ἀνθρώπων γε μαίνονται φρένες,

56. Τοῦ αὐτοῦ ἀπ. 682.

ἡ παῖς νοσεῖ σου κἀπικινδύνως ἔχει,
Λυκ. πρὸς τοῦ; τίς αὐτὴν πημονὴ δαμάζεται;
μῶν κρυμὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς;

Τὸν τελευταῖον στίχον ἀδιανόητον ὄντα ἡμῖν διορθοῦμεν

μῶν κρυμὸς αὐτῆς πλευρὰ τυντλάζει χολῇς;

Περὶ τοῦ *τυντλάζειν* = ταράσσειν ἰδ. Ἡσύχιον· ὅτι δὲ *χολῇς* γραπτέον, ἥ τε σύνταξις μαρτυρεῖ καὶ ὁ παρ' ᾧ εὕρηται τοῦτο Σέξτος ὁ Ἐμπειρικὸς (σ. 671,22) λέγων *πυνθάνεται γὰρ μή τι πλευριτικὴ γέγονε διὰ τὸ τοὺς πλευριτικοὺς βήσσοντας ὑπόχολον ἀνάγειν.*

57. Τοῦ αὐτοῦ ἀπ. 704.

οἶδ' ἄνδρα Μυσὸν Τήλεφος . . . εἴτε δὲ
Μυσὸς γεγὼς ἦν εἴτε κἄλλοθέν ποθεν,
πῶς . . . Τήλεφος γνωρίζεται;

Οἱ στίχοι οὗτοι οἱ ἀτελεῖς ἐπήγασαν ἐκ τῶνδε τῶν ὑπὸ τοῦ Ὀλυμπιοδώρου ἐπὶ τῆς παροιμίας λεγομένων (Archiv. f. Philol. u. Pädag. τομ. 14 σελ. 527) *ἐκεῖ γὰρ ἐρωτᾷ τις περὶ τοῦ Τηλέφου καὶ φησὶ τὸ «Μυσὸν Τήλεφον», εἴτε δὲ Μυσὸς ἦν εἴτε ἄλλοθέν ποθεν, πῶς ὅτι ὁ Τήλεφος γνωρίζεται.* Καὶ τὰς μὲν πρώτας λέξεις τοῦ στίχου συνεπλήρωσεν ὁ ἀοίδιμος Ναύκιος ἐκ τῶν Ἀχαρνέων τοῦ Ἀριστοφάνους (στ. 430) ὁρμηθείς, μετὰ δὲ τὸ *Τήλεφον* νομίζει ὅτι ἐξέπεσε τὸ *τιν'*. Τὴν μετοχὴν *γεγὼς* προσέθηκεν ὁ Οὐεκλεῖνος, ὃς καὶ τὸ χάσμα τοῦ τρίτου στίχου συμπληροῖ γράφων *τοῖς Ἀχαιοῖς*. Καθ' ἡμᾶς συμπληρωτέον·

οἶδ' ἄνδρα Μυσὸν Τήλεφον ⟨ὄνομ'·⟩ εἴτε δὲ
Μυσὸς γεγὼς ἦν εἴτε κἄλλοθέν ποθεν,
πῶς οὗτος ⟨ὢν ὁ Τήλεφος⟩ γνωρίζεται;

58. Τοῦ αὐτοῦ ἀπ. 714.

τί γάρ με πλοῦτος ὠφελεῖ νόσον;

σμίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων
ἄλυπος οἰκεῖν μᾶλλον ἢ πλουτῶν νοσεῖν.

Ὁ πρῶτος στίχος ὅτι νοσεῖ, δῆλον. Καὶ ὁ μὲν Κόβητος συμπληροῖ αὐτὸν γράφων *τί γάρ με πλοῦτος ὠφελεῖ πρὸς τὴν νόσον;* ὁ δὲ Σμιδίτιος *τί γὰρ βαρύν με πλοῦτος' ὠφελεῖ νόσῳ*, ὃ καὶ ὁ Ναύκιος ἐγκρίνει, ἀλλὰ νομίζει προτιμότερον ἡ λέξις *βαρὺν* νὰ τεθῇ ἐν τέλει τοῦ στίχου.

Καθ' ἡμᾶς γραπτέον καὶ συμπληρωτέον τὸν πρῶτον στίχον μᾶλλον ὧδε·

τί γάρ μ' ὁ πλοῦτος ⟨οὗτος⟩ ὠφελεῖ νόσῳ;

59. Τοῦ αὐτοῦ ἀπ. 773.

μνησθεὶς ὅ μοί ποτ' εἶφ' ὅτ' ηὐνάσθη θεός.
αἰτοῦ τί χρῄζεις ἕν· πέρα γὰρ οὐ θέμις
λαβεῖν σε· κἂν μὲν τυγχάνῃς ἐ⟨ρεῖς ὅτι⟩
θεοῦ πέφυκας· εἰ δὲ μή, ψευδὴς ἐγώ.

Οὕτω νομίζομεν συμπληρωτέον τὸν τρίτον στίχον.

60. Τοῦ αὐτοῦ ἀπ. 776.

δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον,
σκαιοῖσιν εἶναι· τί ποτε τοῦτο ταἴτιον;
ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρετεῖ,
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης;

Ὁ μὲν Μεινέκιος ἀντὶ τοῦ *τῆς τύχης* γράφει *τῆς τέχνης*, ὁ δὲ Ἄλμιος *δυστυχῆς*, ὁ δὲ Μοῦνρος *κοὐκ εὐστόχως*.
Καθ' ἡμᾶς ὁ τελευταῖος στίχος διορθωτέος

τυφλὰς ἔχουσι καὶ φρένας ἐκ τῆς τύχης.

61. Τοῦ αὐτοῦ ἀπ 806.

ἀλλ' οὔποτ' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν
παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη
πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ με καὶ σκότος,
εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.

Τὸν τρίτον στίχον ὁ Μεινέκιος διώρθωσε

πρὶν γὰρ κατ' ὄσσων κιγχάνοι με καὶ σκότος,

ἐν δὲ τῷ τετάρτῳ ὀρθῶς ὁ Γεσνῆρος γράφει *ἤ*, ὅπερ ἑρμηνευτέον *εἰ δὲ μή*, ἀντὶ τοῦ *εἰ*, ὁ δὲ Οὐϊτέλλιος *χρῇ καὶ τιμώμενος* ἀντὶ τοῦ *χρὴ καὶ νικώμενον*.

Κατὰ τὴν γνώμην ἡμῶν διορθωτέον τοὺς δύο τελευταίους στίχους ὧδε·

πρὶν ἂν κατ' ὅσσων κιγχάνοι νιν ὁ σκότος,
ἢ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.

62. Τοῦ αὐτοῦ ἀπ. 815.

δμωσὶν δ' ἐμοῖσιν εἶπον ὡς ταυτηρίαις
πυρίδες καὶ διιπετῆ κτεῖναι

Τὸ ἀδιανόητον τοῦτο ἀπόσπασμα διέσωσεν ὁ Ἐρωτιανὸς (Γλωσσ. Ἱπποκρ. σ. 65,9) χάριν τῆς λέξεως *διιπετής*, ἣν ὡς λῆμμα μεταχειριζόμενος λέγει· *διιπετὴς ὁ γόνος· ἀντὶ τοῦ διαυγὴς καὶ καθαρός, ὡς καὶ Εὐριπίδης ἐν Φοίνιξι λέγων « δμωσὶ δ' ἐμοῖσιν εἶπον ὡς ταυτηρίαις πυρίδες καὶ διηπέτη κτεῖναι*.

Καὶ ὁ δεύτερος τῶν στίχων καὶ τὰ ὑπὸ τοῦ Ἐρωτιανοῦ λεγόμενα δεικνύουσιν ὅτι ἐξέπεσεν ἡ λέξις *ὁ γόνος* ἡ συμφραζομένη τῷ λήμματι. Κρίνοντες ἐκ τῆς ἑρμηνείας τοῦ *διιπετής*, ὅπερ ὁ Ἐρωτιανὸς ἐνταῦθα λέγει ὅτι εἶνε συνώνυμον τοῦ *διαυγὴς* καὶ *καθαρός*, εἰκάζομεν ὅτι ὁ μὲν Ἐρωτιανὸς ἔγραψεν *διιπετὴς ὁ τόνος* καὶ οὐχὶ *διιπετὴς ὁ γόνος*, τὸ δὲ ἀπόσπασμα εἶχεν ὧδέ πως

δμωσὶν δ' ἐμοῖσιν εἶπον ὡς παυστήριον
γῆρυν νόσου δεῖ διιπετεῖ στῆναι τόνῳ.

63. Τοῦ αὐτοῦ ἀπ. 816.

καίτοι ποτ' εἴ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν
τυφλὸν προηγητῆρος ἐξηρτημένον
ἀδημονοῦντα συμφοραῖς ἐλοιδόρουν,
ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων.

Ἀντὶ τοῦ *ἐκποδὼν* ὁ μὲν Ναύκιος προτιμᾷ *ἐμποδών*, ὁ δὲ Σμιδίτιος διορθοῖ τὰς δύο τελευταίας λέξεις *ὀρρωδῶν*, λέγων ἢ *ὀρρωδῶν ἄγαν*. Κατὰ τὴν γνώμην ἡμῶν οὐδεμιᾶς τὸ χωρίον δεῖται διορθώσεως, διότι τὸ *θάνατον ἐκποδὼν ἔχων* = κρατῶν μακράν, ἀποφεύγων τὸν θάνατον, οὐκ ἀποθνήσκων. πρβλ. Αἰσχ. Προμ. 344 *ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων*. καὶ Χοηφ. 20 *ἐκποδὼν σταθῶμεν*.

64. Τοῦ αὐτοῦ ἀπ. 899.

εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός,
οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι,
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.

Τὴν ἐν τῷ πρώτῳ στίχῳ λέξιν *μέλος* ὁ μὲν Ναύκιος ὀνομάζει vitiosam, ὁ δὲ Βάρνης διορθοῖ *μέλι*, ὁ δὲ Οὐεκλεῖνος *στόμα*. Ἡμεῖς νομίζομεν ὅτι *εὔγλωσσον μέλος* ταὐτὸν τῷ *ἐμμελὴς γλῶσσα*.

65. Τοῦ αὐτοῦ ἀπ. 908.

τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτοῖς.
ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσιν
τίκτω; τεκοῦσα δ᾽ ἢν μὲν ἄφρονας τέκω,
στένω ματαίως εἰσορῶσά νιν κακούς,
χρηστοὺς τ᾽ ἀπολλῦσ᾽· ἢν δὲ καὶ σεσωσμένους
τήκω τάλαιναν καρδίαν ὀρρωδίᾳ.

Τὸν τέταρτον στίχον συμπληροῖ ὁ Συλβούργιος προστιθεὶς τὸν *μὲν* καὶ διορθεῖ τὸν ἐν τῷ πέμπτῳ τ[ε] γράφων δ᾽[έ]. Ἡμεῖς προτιμῶμεν τὴν τοῦ Ἐγγέρου συμπλήρωσιν διὰ τοῦ *νιν*, ὅπως μὴ μεταβληθῇ ὁ *τε*, ἀντὶ δὲ τοῦ *σεσωσμένους*, ὅπερ δὲν φαίνεται ἡμῖν ὑγιαῖνον, διότι δὲν εἶνε τὸ προσδοκώμενον ἀντίθετον τοῦ *ἄφρονας* γράφομεν *πεπνυμένους*, ὧν ἕνεκα ὄντως ἡ μήτηρ *τήκει τάλαιναν καρδίαν ὀρρωδίᾳ*, μὴ ἀπολέσῃ αὐτούς.

66. Τοῦ αὐτοῦ ἀπ. 914.

κακὸν γυναῖκα πρὸς νέον ζεῦξαι νέαν·
ὁ μὲν μὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν,
ἡ δ᾽ ἐνδεὴς τοῦδ᾽ οὖσα βουλεύει κακά.

Ὅτι ὁ πρῶτος στίχος ὡς ἔχει ἄσχετος πρὸς τοὺς ἑπομένους, φανερόν. Ὁ Σκαλιγῆρος ὀρθῶς μὲν τὸν νοῦν ἀπέδωκε γράψας

γραῖαν γυναῖκα πρὸς νέον ζεῦξαι κακόν·

ἀπίθανος δ᾽ ὅμως φαίνεται ἡμῖν ἡ τοιαύτη ταραχὴ τῶν λέξεων. Ἡμεῖς φρονοῦμεν ὅτι ὁ μὲν Εὐριπίδης ἔγραψε

κακὸν γυναῖκα γραῦν νέῳ ζεῦξαι λίαν

οἱ δ᾽ ἀντιγραφεῖς διέφθειραν.

67. Τοῦ αὐτοῦ ἀπ. 921.

ἀωρὶ πόντου κύματ' εὐρέος περᾷ...
σμικραῖς ἑαυτοὺς ἐπιτρέπουσιν ἐλπίσιν.

Γραπτέον

ἀωρὶ πόντου κύματ' εὐρέος περᾶν
σμικραῖς ἑαυτοὺς ἐπιτρέπουσιν ἐλπίσιν

Ἂν μὴ ὁ νοῦς ποιητικῶς ἀσθενέστερος ἐγίνετο, καὶ τὸ *ἐλπίσιν* ἠδύνατό τις νὰ διορθώσῃ *ὁλκάσιν* εἰκάζων ἐξ ὧν ὁ παρ' ᾧ εὕρηται τὸ ἀπόσπασμα Δίων ὁ Χρυσόστομος λέγει· «ὦ παῖ Μνησαρχίδου ποιητὴς μὲν ἦσθα, σοφὸς δὲ οὐδαμῶς· οὔτε γὰρ *πίττῃ* τὴν ψυχὴν οὔτε *σχοινίοις* ἐπιτρέπουσιν οὔτε *τριδάκτυλον αὐτοὺς σῴζει ξύλον πεύκινον* ἀλλ' ἐπέτρεψαν βεβαίῳ καὶ μεγάλῳ πράγματι, τῇ τύχῃ».

68. Τοῦ αὐτοῦ ἀπ. 939.

ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα

Ὁ Φρίτσχιος ἀντὶ τοῦ *παιδεύματα* εἰκάζει *γεννήματα* ἢ *τεκνώματα*, ἀλλ' ἄνευ ἀνάγκης, διότι τὸ *παιδεύματα* αὐτὸ τοῦτο σημαίνει, *θρέμματα*, *παῖδας*, ὡς καὶ ἐν Ἱππολ. στ. 11 καὶ Ἠλ. στ. 887 εὕρηται.

69, Τοῦ αὐτοῦ ἀπ. 953.

. . . . . , ... , ...
6 ἐκεῖνος εἰ μὲν μεῖζον ἠδίκηκέ τι
οὐκ ἐμὲ προσήκει λαμβάνειν τούτων δίκην·
ἃ δ' εἰς ἔμ' ἡμάρτηκεν αἰσθέσθαι με δεῖ.
ἀλλ' ἀγνοῶ δὴ τυχὸν ἴσως ἄφρων ἐγὼ
οὖσ', οὐκ ἂν ἀντείποιμι...

Διορθωτέον καὶ στικτέον

6 ἐκεῖνος εἰ μὲν οἶκον ἠδίκηκέ τι,
οὐκ ἐμὲ προσήκει λαμβάνειν τούτων δίκην·
ἃ δ' εἰς ἔμ' ἡμάρτηκεν αἰσθέσθαι με δεῖ.
ἀλλ' ἀγνοῶ δὴ τυχὸν ἴσως ἄφρων ἐγὼ
οὖσ'· οὐκ ἂν ἀντείποιμι . . .

Παρατηρητέον ὅτι ἐν τῷ αὐτῷ ἀποσπάσματι (στ. 34) ἡ λέξις *παῖς* κεῖται ὡς παρ' ἡμῖν τὸ *κόρη* ἀντὶ τοῦ *ἄγαμος*.

70. Τοῦ αὐτοῦ ἀπ. 967.

εἴης μοι, μέτριος δέ πως
εἴης μηδ' ἀπολείποις.

Ὀρθῶς ὁ Ναύκιος ἀμφιβάλλει, ἂν αἱ δύο τελευταῖαι λέξεις τοῦ πρώτου στίχου ὑγιαίνουσιν. Διορθωτέον

εἴης μοι, μέτριος δ' ὅμως
εἴης μηδ' ἀπολείποις.

71. Τοῦ αὐτοῦ ἀπ. 979.

οὔ τοι προσελθοῦσ' ἡ Δίκη σε, μὴ τρέσῃς,
παίσει πρὸς ἧπαρ οὐδὲ τῶν ἄλλων βροτῶν
τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ
στείχουσα μάρψει τοὺς κακούς, ὅταν τύχῃ.

Ἡ ἐπιφερομένη ἀντίθεσις *ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα* μαρτυρεῖ ὅτι τὸ *προσελθοῦσα* νοσεῖ. Ἀντὶ δ' ὅμως τοῦ *προσᾴσσουσα*, ὅπερ ὁ Μεκλῆρος προτείνει, ἡμεῖς νομίζομεν ὅτι πρέπει νὰ γραφῇ *προσᾴξασ'*, ἅτε τῆς ταχύτητος προσφυέστερον διὰ τοῦ ἀορίστου ἐκδηλουμένης.

72. Τοῦ αὐτοῦ ἀπ. 1019.

δοῦλοισι γάρ τε ζῶμεν οἱ ἐλεύθεροι

Τὰ σχόλια τοῦ Πινδάρου (Πυθ. 4,71), ὅπου διεσώθη τὸ ἀπόσπασμα τοῦτο, λέγουσιν «ἐπειδὴ δὲ οἱ οἰκέται τῶν δεσποτῶν τοὺς πόνους διαλύουσι τῇ θεραπείᾳ *λυσιπόνους* αὐτοὺς ἐκάλεσεν, ὡς Εὐριπίδης». Ἐκ τούτων δῆλον ὅτι τὸ λῆμμα, οὗ χάριν ὁ σχολιαστὴς ἀναφέρει τὸ ἀπόσπασμα, ἀντικατεστάθη διὰ τοῦ *δούλοισι*. Διορθωτέον λοιπὸν

τοῖς λυσιπόνοις γὰρ ζῶμεν οἵ γ' ἐλεύθεροι

περὶ τοῦ ἐν τῇ β' θέσει ἀναπαίστου ἰδὲ Métrique Grecque par A. E. Chaignet ἐν σελ. 183.

73. Τοῦ αὐτοῦ ἀπ. 1024.

φθείρουσιν ἤδη χρήσθ' ὁμιλίαι κακαί.

Διόρθου τὸ ἐξ ἀβλεπτήματος τυπογραφικοῦ *ἤδη* γράφων *ἤθη*.

74. Τοῦ αὐτοῦ ἀπ. 1052.

νεανίας γὰρ ὅστις ὢν Ἄρη στυγῇ,

κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος
ὅ τ' ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων·
ἀλλ' οὐκ ἔνεστι στέφανος οὐδ' εὐανδρία,
εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα·
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,
ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα,
τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

Περὶ τοῦ τετάρτου στίχου ὁ Ναύκιος λέγει ὅτι locus nondum emendatus est. Εἰ καὶ πολλοὶ τῶν κριτικῶν συμφωνοῦντες τῷ Ναυκίῳ πολλαχῶς ἐπειράθησαν νὰ διορθώσωσιν, ἡμεῖς νοοῦντες τὸν στίχον ἰσοδύναμον τῷ *ὅ τ' ὄλβος ἐστι τις ἔξω πραγμάτων ὤν*, νομίζομεν ὅτι οὗτος μὲν οὐδεμιᾶς διορθώσεως χρήζει, ὁ δὲ τελευταῖος διορθωτέος

τὸ διαβιῶναι μοῦνον εὖ θηρωμένη

75. Τοῦ αὐτοῦ ἀπ. 1053.

μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης
μὴ πᾶσι πάντων προσφέρῃ μειλίγματα

Τὸ ἐν τῷ β' στίχῳ *πᾶσι πάντων* προφανῶς εἶνε διεφθαρμένον. Ἡμῖν οὔτε ἡ τοῦ Γεσνήρου διόρθωσις *πᾶσι πάντως* οὔτε ἡ τοῦ Σμιδιτίου *ἔταισι χαμάτων* ἀρέσκει. Νομίζομεν ὅτι ὁ Εὐριπίδης τὸν β' στίχον ἔγραψεν ὧδε

μὴ παυσιπόλεμα προσφέρῃ μειλίγματα

76. Τοῦ αὐτοῦ ἀπ. 1061.

μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος·
ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος
τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον;

Ἐν τοῖς χειρογράφοις ἀντὶ τοῦ *ἔνδικος*, ὅπερ ὁ Γεσνῆρος εἴκασεν, ὑπάρχει *ἔνδος* ἢ *ἔνδον*. Τούτου ἕνεκα ὁ μὲν Γαισφόρδιος τὸν β' στίχον διώρθωσε

ἥτις γὰρ αὐτὴ μὴ πέφυκ' ἔνδον μένειν,

ὁ δὲ Μεινέκιος

ἥτις γὰρ αὐτὴ μὴ πέφυκε κοσμία,

ὁ δὲ Κόβητος

ἥτις γὰρ αὐτὴ μὴ πέφυκε σωφρονεῖν.

Καθ' ἡμᾶς διορθωτέον

ἥτις γὰρ αὐτὴ μὴ πέφυκ' οἰκεῖν δόμους.

Οὕτω διωρθώσαμεν πρὸ διανοίας λαβόντες τὰ ἐν ἀπ' 1063 στ. 12-14 λεγόμενα, *ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ' ἔχει, θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χαρίζεται, λάθοι δ' ἂν Ἄργου τὰς πυκνοφθάλμους κόρας.*

77. Τοῦ αὐτοῦ ἀπ. 1064.

ἀλλ' ἴσθ', ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος.
τὸ μὴ οὐ σέ, μῆτερ, προσφιλῆ νέμειν ἀεὶ
καὶ τοῦ δικαίου καὶ τόκων τῶν σῶν χάριν.
στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν
μάλισθ'· ὁρίζω τοῦτο, καὶ σὺ μὴ φθόνει·
κείνου γὰρ ἐξέβλαστον οὐδ' ἂν εἷς ἀνὴρ
γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός.

Ὅτι τὸ ἐν τῷ τελευταίῳ στίχῳ *γυναικὸς* νοσεῖ, πάντες οἱ κριτικοὶ ὁμολογοῦσι. Καὶ δὴ ὁ μὲν ἡμέτερος Κοραῆς διορθοῖ

οὐδ' ἂν εἷς γένει
γυναικὸς αὐχήσειεν ἀλλὰ τοῦ πατρὸς

ὁ δὲ Μεινέκιος γράφει *τῆς μητρὸς* ἀντὶ τοῦ *γυναικός*, ὁ δὲ Ἔγγερος *οὐδ' ἂν εἷς μ' ἀνὴρ γένος σὸν αὐδήσειεν*. Ἡμεῖς διορθοῦμεν τὸν τελευταῖον στίχον ὧδε·

γόνον σὸν αὐδήσειέ μ', ἀλλὰ τοῦ πατρός.

78. Τοῦ αὐτοῦ ἀπ. 1129.

Α. θεὸν δὲ ποῖον, εἰπέ μοι, νοητέον;
Β. τὸν πάνθ' ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον.

Καὶ οἱ δύο στίχοι οὐχὶ εἰς τὸ αὐτὸ πρόσωπον ἀποδοτέοι, νομίζομεν, ἀλλ' εἰς δύο διάφορα.

79. Φρυνίχου ἀπ. 16.

ταῦρος ἀργιμήτης

Τὸ ἀπόσπασμα τοῦτο διέσωσεν ὅ τε Εὐστάθιος ('Οδ. σελ. 1432,62) καὶ ὁ Ἡσύχιος (1 σ. 273) λέγων *ἀργιμήτας ταῦρος*. Ὀρθῶς λέγει ὁ

Ναύκιος ὅτι τὸ ἐπίθετον *ἀργιμήτης* ἢ *ἀργιμήτας* vitiose est formatum et ineptum καὶ ὅτι προσεδόκα τις *ἀργιμέτωπος*, ὡς περὶ τοῦ αὐτοῦ ταύρου, τοῦ διακομίσαντος τὴν Εὐρώπην, λέγει ὁ Μόσχος (2,85) *κύκλος δ' ἀργύφεος μέσσῳ μάρμαιρε μετώπῳ* καὶ ὁ Ὅμηρος (Ἰλ. Ψ 454) *ἐν δὲ μετώπῳ λευκὸν σῆμα τέτυκτο περίτροχον ἠΰτε μήνη*. Κατὰ τὴν γνώμην ἡμῶν διορθωτέον

ταῦρος ἀργιμήνης

ὡς τὸ χωρίον τοῦ Μόσχου, μάλιστα δὲ τὸ τοῦ Ὁμήρου μαρτυρεῖ.

80. Τοῦ αὐτοῦ ἀπ. 21.

ἐγὼ δέ, μισεῖ γάρ μ', ἄπειμ' ἐξ ὀμμάτων.

Ὁ Ζωναρᾶς ἐν τῷ λεξικῷ αὐτοῦ (σ. 757) ἐκ τοῦ χωρίου τούτου τοῦ Φρυνίχου λαμβάνων ἀφορμὴν λέγει *ἐξ ὀφθαλμῶν οὐ λέγουσιν οὐδ' ἐκ προσώπου*. Πρὸς ταῦτα παραβλητέον τὸ τῆς συνηθείας *φύγε ἀπὸ τὰ μάτια μου* ἢ *φύγε ἀπ' ἐμπρός μου νὰ μή σε βλέπω*, ὅπερ ἐπὶ ἀνθρώπου, ὃν μισεῖ τις ἢ καθ' οὗ εἶνε ὠργισμένος, λέγεται.

81. Ἀχαιοῦ ἀπ. 9.

Α. μῶν Ἀχελῷος ἦν κεκραμένος πολύς ;
Β. ἀλλ' οὐδὲ λεῖξαι τοῦδε τῷ γένει θέμις·.
Α. καλῶς μὲν οὖν ἄγειν σκύθη πιεῖν.

Τὸν νοσοῦντα τρίτον στίχον ὁ μὲν Μεινέκιος διορθοῖ γράφων.

καλῶς μὲν οὖν ἂν ἐγχέαις Σκύθῃ πιεῖν.

ὁ δὲ Μετνῆρος

καλὸς μὲν οὖν ἄγαν ἂν ἦν Σκύθῃ πιεῖν,

ὁ δὲ Σμιδίτιος ἀντὶ τοῦ *σκύθη* γράφει *σκύφη*. Ἡμεῖς δὲ διορθοῦμεν

καλῶς μέν οὖν ἂν εἶχε τῳ Σκύθῃ πιεῖν

82. Τοῦ αὐτοῦ ἀπ. 10.

⟨τῇ⟩ βακκάρει χρισθέντα καὶ ψυκτηρίοις
πτεροῖς ἀναστήσαντα προσθίαν τρίχα.

Οὕτω νομίζομεν συμπληρωτέον τὸν πρῶτον στίχον.

83. Τοῦ αὐτοῦ ἀπ' 14.

ἀλλ' ὡς τάχιστα μέλανα δεῦρ' ἀμνὸν φέρειν
κοινόν τε γρὴ κρατῆρι καὶ κυλιχνίδας.

Διορθωτέον

ἀλλ' ὡς τάχιστα μέλανα δεῦρ' ἀμνὸν φέρειν
καινόν τε χρὴ κρατῆρα καὶ κυλιχνίδας.

84. Τοῦ αὐτοῦ ἀπ. 32.

⟨δούλοισιν⟩ ὡς εὔδουλος, ὡς εὔοικος ἦν

Οὕτω συνεπληρώσαμεν ἐκ τῶν παρ' Ἀθηναίῳ (6,267 d) λεγομένων, *ὡς χρηστὸς ἐς τοὺς δούλους ἐστὶ καὶ τοὺς οἰκέτας*, ὁρμηθέντες. Οὐχὶ ἀφυῶς ὁ Καιβῆλος εἴκασεν *εὐοικέτης* ἀντὶ τοῦ *εὔοικος ἦν*.

85. Τοῦ αὐτοῦ ἀπ. 34.

ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχὺς
καὶ πρὸς χελώνης αἰετὸς βραχεῖ χρόνῳ.

Διορθωτέον

ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσκελῶν ταχὺς
καὶ πρὸς χελώνης αἰετὸς βραδεῖ χρόνῳ.

Περὶ μὲν τοῦ ἀσκελὴς = ἄπους ἰδ. Πλάτ. Τιμ. 34 α, περὶ δὲ τοῦ *βραδεῖ* πρβλ. τὸ τοῦ Διονυσίου τοῦ Σπινθάρου ἐπικαλουμένου

γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ·
ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται.

Περὶ δὲ τοῦ *βραδεῖ χρόνῳ* ἰδ. Σοφ. Τρ. σ. 395. Ἡ μεταβολὴ τοῦ *ἀσκελὴς* διὰ τοῦ *ἀσθενὴς* ἐξηγεῖται, διότι τὸ *ἀσκελὴς* = *ἄπους* (α-σκέλος) καὶ *ἀδύνατος*, *ἀσθενὴς* (α-σκέλλω). Ὁ παρατατικὸς *ἡλίσκετο* ἅτε δηλῶν τὴν ἐπικύρωσιν γνώμης, περὶ ἧς καὶ πρότερον ὑπῆρχεν ὑπόνοια, δὲν πρέπει νὰ ἀντικατασταθῇ δι' ἐνεστῶτος, ὥς τινες ἐνόμισαν.

86. Τοῦ αὐτοῦ ἀπ. 41.

ἐδεξιοῦτο Βιβλίνου μέθης ἐκπώματι.

ὁ μὲν Καιβῆλος διώρθωσεν

ἐδεξιοῦτο βιβλίνου μεθεὶς χερὸς ἔκπωμα·

ὁ δὲ Ναύκιος

suspicatur μέθης ἐκπώματι ortum esse ex μεθύσματι, cui ἐκπώ est adscriptum. Ἡμεῖς δὲ διορθοῦμεν

ἐδεξιοῦτο Βιβλίνῳ με πώματι.

87. Ἰοφῶντος ἀπ. 2.

ἐπίσταμαι δὲ καὶ τάδ' οὖσά περ γυνή,
ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν
ζητεῖ, τοσούτῳ μᾶλλον ἧσσον' εἴσεται.

Ἐν τῷ τελευταίῳ στίχῳ ἀντὶ τοῦ *ἧσσον* ἐγράψαμεν *ἧσσον'*. Ὁ Ναύκιος ἀντ' αὐτοῦ γράφει *οὐδέν*.

88. Κριτίου ἀπ. 1.

. . . .
12 ⟨νόον⟩ πυκνός τις καὶ σοφὸς γνώμην ἀνὴρ
. . . .
24 ⟨κἀνταῦθ'⟩ ἔνεστι· τούσδε τοὺς λόγους λέγων

Οὕτω νομίζομεν συμπληρωτέον τοὺς στίχους τούτους.

89. Ἀστυδάμαντος ἀπ. 6.

⟨Διόνυσος ὃς⟩ θεοῖσι τὴν ἀκεσφόρον
λύπης ἔφηνεν οἰνομήτορ' ἄμπελον.

Οὕτω συμπληροῦμεν τὸν πρῶτον στίχον.

90. Τοῦ αὐτοῦ ἀπ. 8.

γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ' ἄνδρ' ἐπαινεῖν ὅστις ἂν δίκαιος ᾖ
τρόπους τ' ἄριστος, τοῦτον εὐγενεῖ καλεῖν
ἐν ἑκατόν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα,
κεἰ τοῦτον οἱ ζητοῦντές εἰσι μυρίοι.

Διορθωτέον καὶ στικτέον

μόνος δ' ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ' ἄνδρ' ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ
τρόπους τ' ἄριστος· τοῦτον εὐγενῆ κάλει.
ἐν ἑκατὸν ⟨οἷόν τ'⟩ ἐστιν εὑρεῖν ἄνδρ' ἕνα,
κεἰ τοῦτον οἱ ζητοῦντές εἰσι μυρίοι.

91. Χαιρήμονος ἀπ. 12.

πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν παρῆν
ἄκραισι περκάζουσαν οἰνάνθαις χρόνου.

Διορθωτέον τὸν δεύτερον στίχον ὧδε

ἄκραισι περκάζουσαν οἰνάνθαις χρόαν.

ὅπερ ταὐτὸν τῷ *νέους ἄρτι ἰούλους φύοντας*. Περὶ τοῦ *περκάζειν* πρβλ. τὸ τοῦ Καλλιμάχου *ἄρτι γένεια περκάζων* (Lav. Pall. 76).

92. Τοῦ αὐτοῦ ἀπ. 13.

κόμαισιν ὡρῶν σώματ' εὐανθῆ ῥόδα
εἶχον, τιθήνημ' ἔαρος ἐκπρεπέστατον.

Διόρθου

κόμαισιν ὡρῶν σήματ' εὐανθῆ ῥόδα
εἶχον, τιθήνημ' ἔαρος ἐκπρεπέστατον.

Ἡ διόρθωσις τοῦ Ἰακωψίου *στέμματ'* ἀντὶ τοῦ *σώματ'* δὲν φαίνεται ἡμῖν πιθανὴ ἕνεκα τοῦ *ὡρῶν*· τὰ σήματα τῶν ὡρῶν εἰσὶ τὰ στέμματα

93. Τοῦ αὐτοῦ ἀπ. 36.

πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰὼν
οὐκ ἔσχεν ὄγκον ὥστε καὶ δόξης τυχεῖν,
ἀλλ' ἔστι σεμνός· ἐν δὲ δόσει βροτῶν
ἡδὺς συνοικεῖν καί τιν' εἴληχὼς χάριν.

Ὀρθῶς ὁ Ναύκιος ἀντιμετατίθησι τὸ ἐν τῷ β' στίχῳ *ἔσχεν ὄγκον* καὶ τὸ ἐν τῷ γ' *ἔστι σεμνός*, ἀλλ' ὅπως τὸ ἀπόσπασμα παράσχῃ νοῦν τινά, διορθωτέον ὧδε

πλοῦτος δὲ πρὸς μὲν γ' ἥσσονας τιμῆς ἰὼν
οὐκ ἔστι σεμνὸς ὥστε καὶ δόξης τυχεῖν,
ἀλλ' ἔσχεν ὄγκον· εὐδοκιμοῦσι δὲ βροτῶν
ἡδὺς συνοικεῖν καί τιν εἴληχὼς χάριν.

Περὶ τοῦ ἐν τῇ τετάρτῃ χώρᾳ ἀναπαίστου ἴδ. métrique par A. I. Chaignet σελ. 183.

94. Θεοδέκτου Αἴας.

Ἐξ ὧν ὁ Ἀριστοτέλης (ῥητ. 2,23 σελ. 1399) λέγει περὶ τοῦ Αἴαντος τοῦ Θεοδέκτου, *ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν* ἐξάγομεν τούσδε τοὺς στίχους

Ὀδ. λέγει Τυδείδης ὥς γε σοῦ κρείσσων ἐγώ.
Αἴ. ἥσσων ἵν' ᾖς, κοὐ κρείσσον' ὄντα σ' εἵλετο.

87. Ἰοφῶντος ἀπ. 2.

ἐπίσταμαι δὲ καὶ τάδ' οὖσά περ γυνή,
ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν
ζητεῖ, τοσούτῳ μᾶλλον ἧσσον' εἴσεται.

Ἐν τῷ τελευταίῳ στίχῳ ἀντὶ τοῦ *ἧσσον* ἐγράψαμεν *ἧσσον'*. Ὁ Ναύκιος ἀντ' αὐτοῦ γράφει *οὐδέν*.

88. Κριτίου ἀπ. 1.

. . . .
12 ⟨νόον⟩ πυκνός τις καὶ σοφὸς γνώμην ἀνὴρ
. . . .
24 ⟨κἀνταῦθ'⟩ ἔνεστι· τούσδε τοὺς λόγους λέγων

Οὕτω νομίζομεν συμπληρωτέον τοὺς στίχους τούτους.

89. Ἀστυδάμαντος ἀπ. 6.

⟨Διόνυσος ὃς⟩ θεοῖσι τὴν ἀκεσφόρον
λύπης ἔφηνεν οἰνομήτορ' ἄμπελον.

Οὕτω συμπληροῦμεν τὸν πρῶτον στίχον.

90. Τοῦ αὐτοῦ ἀπ. 8.

γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ' ἄνδρ' ἐπαινεῖν ὅστις ἂν δίκαιος ᾖ
τρόπους τ' ἄριστος, τοῦτον εὐγενεῖ καλεῖν
ἐν ἑκατόν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα,
κεἰ τοῦτον οἱ ζητοῦντές εἰσι μυρίοι.

Διορθωτέον καὶ στικτέον

μόνος δ' ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ' ἄνδρ' ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ
τρόπους τ' ἄριστος· τοῦτον εὐγενῆ κάλει.
ἐν ἑκατὸν ⟨οἷόν τ'⟩ ἐστιν εὑρεῖν ἄνδρ' ἕνα,
κεἰ τοῦτον οἱ ζητοῦντές εἰσι μυρίοι.

91. Χαιρήμονος ἀπ. 12.

πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν παρῆν
ἄκραισι περκάζουσαν οἰνάνθαις χρόνου.

Διορθωτέον τὸν δεύτερον στίχον ὧδε

ἄκραισι περκάζουσαν οἰνάνθαις χρόαν.

ὅπερ ταὐτὸν τῷ *νέους ἄρτι ἰούλους φύοντας*. Περὶ τοῦ *περκάζειν* πρβλ. τὸ τοῦ Καλλιμάχου *ἄρτι γένεια περκάζων* (Lav. Pall. 76).

92. Τοῦ αὐτοῦ ἀπ. 13.

κόμαισιν ὡρῶν σώματ' εὐανθῆ ῥόδα
εἶχον, τιθήνημ' ἔαρος ἐκπρεπέστατον.

Διόρθου

κόμαισιν ὡρῶν σήματ' εὐανθῆ ῥόδα
εἶχον, τιθήνημ' ἔαρος ἐκπρεπέστατον.

Ἡ διόρθωσις τοῦ Ἰακωψίου *στέμματ'* ἀντὶ τοῦ *σώματ'* δὲν φαίνεται ἡμῖν πιθανὴ ἕνεκα τοῦ *ὡρῶν*· τὰ σήματα τῶν ὡρῶν εἰσὶ τὰ στέμματα

93. Τοῦ αὐτοῦ ἀπ. 36.

πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰὼν
οὐκ ἔσχεν ὄγκον ὥστε καὶ δόξης τυχεῖν,
ἀλλ' ἔστι σεμνός· ἐν δὲ δόσει βροτῶν
ἡδὺς συνοικεῖν καί τιν' εἴληχὼς χάριν.

Ὀρθῶς ὁ Ναύκιος ἀντιμετατίθησι τὸ ἐν τῷ β' στίχῳ *ἔσχεν ὄγκον* καὶ τὸ ἐν τῷ γ' *ἔστι σεμνός*, ἀλλ' ὅπως τὸ ἀπόσπασμα παράσχῃ νοῦν τινά, διορθωτέον ὧδε

πλοῦτος δὲ πρὸς μὲν γ' ἥσσονας τιμῆς ἰὼν
οὐκ ἔστι σεμνὸς ὥστε καὶ δόξης τυχεῖν,
ἀλλ' ἔσχεν ὄγκον· εὐδοκιμοῦσι δὲ βροτῶν
ἡδὺς συνοικεῖν καί τιν εἴληχὼς χάριν.

Περὶ τοῦ ἐν τῇ τετάρτῃ χώρᾳ ἀναπαίστου ἴδ. métrique par A. I. Chaignet σελ. 183.

94. Θεοδέκτου Αἴας.

Ἐξ ὧν ὁ Ἀριστοτέλης (ῥητ. 2,23 σελ. 1399) λέγει περὶ τοῦ Αἴαντος τοῦ Θεοδέκτου, *ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν* ἐξάγομεν τούσδε τοὺς στίχους

Ὀδ. λέγει Τυδείδης ὥς γε σοῦ κρείσσων ἐγώ.
Αἴ. ἥσσων ἵν' ᾖς, κοὐ κρείσσον' ὄντα σ' εἵλετο.

95. Τοῦ αὐτοῦ ἀπ. 6.

γραφῆς ὁ πρῶτος ἦν μαλακόφθαλμος κύκλος·
ἔπειτα δισσοὶ κανόνες ἰσόμετροι πάνυ,
τούτους δὲ πλάγιος διαμέτρου συνδεῖ κανών,
τρίτον δ' ἑλικτῷ βοστρύχῳ προσεμφερές.
ἔπειτα τριόδους πλάγιος ὡς ἐφαίνετο,
πέμπται δ' ἄνωθεν ἰσόμετροι ῥάβδοι δύο,
αὗται δὲ συντείνουσιν εἰς βάσιν μίαν·
ἕκτον δ' ὅπερ καὶ πρόσθεν εἶφ', ὁ βόστρυχος.

Ὅτι τὸ *μαλακόφθαλμος* εἶνε ἐφθαρμένον, οὐδεμία ἀμφιβολία. Ἀλλ' ἡμῖν οὔτε ἡ τοῦ Σκαλιγήρου διόρθωσις *καλόφθαλμος*, οὔτε ἡ τοῦ Οὐαλκεναρίου *μεσόμφαλος*, οὔτε ἡ τοῦ Οὐελκήρου *μεσόφθαλμος*, οὔτε ἡ τοῦ Ἑρουερδήνου *μακρόφθαλμος* ἀρέσκει, νομίζομεν δὲ ὅτι ὁ ποιητὴς ἔγραψε *μελανόφθαλμος* ἀντὶ τοῦ *μαλακόφθαλμος*.

96. Πύθωνος ἀπ. 1.

ἔστιν δ' ὅπου μὲν ὁ κάλαμος πέφυχ' ὅδε
φέτωμ' ἄορνον· οὐξ ἀριστερᾶς δ' ὅδε
πόρνης ὁ κλεινὸς ναός . . . . .

Τὴν ἀδιανόητον λέξιν *φέτωμα*, ὁ μὲν Φιορίλλος διώρθωσε *φάτνωμα*, ὁ δὲ Φρίβελος *φηγών*, ὁ δὲ Μεινέκιος *ἕλωμ' ἄορνον* εἰκάζων, ὅτι δηλοῖ τόπον παρὰ τὴν Βαβυλῶνα ὑπὸ τοῦ Λουκιανοῦ περιγραφόμενον (Νεκυομαντ. 9, 1 σελ. 468). Ἡμεῖς ὑποπτεύοντες ὅτι περὶ δένδρου ὑψηλοῦ λίαν πρόκειται διορθοῦμεν *φίτυμ'* ἀντὶ τοῦ *φέτωμ'*.

97. Μοσχίωνος ἀπ. ἀπ. 6.

πρῶτον δ' ἄνειμι καὶ διαπτύξω λόγῳ
ἀρχὴν βροτείου καὶ κατάστασιν βίου.
ἦν γάρ ποτ' αἰὼν κεῖνος, ἦν ποθ' ἡνίκα
θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί,
ὀρειγενῆ σπήλαια καὶ δυσηλίους
φάραγγας ἐνναίοντες· οὐδέπω γὰρ ἦν
οὔτε στεγήρης οἶκος οὔτε λαΐνοις
εὐρεῖα πύργοις ὠχυρωμένη πόλις·
οὐ μὴν ἀρότροις ἀγκύλοις ἐτέμνετο

μέλαινα καρποῦ βῶλος ὀμπνίου τροφός,
οὐδ' ἐργάτης σίδηρος εὐιώτιδος
θάλλοντας οἴνης ὀρχάτους ἐτημέλει
ἀλλ' ἣν ἀκύμων κωφεύουσα ῥέουσα γῆ.

Ὁ ἀοίδιμος Ναύκιος ἀμφιβάλλων περὶ τῆς ὀρθότητος τοῦ ἐν τῷ πέμπτῳ στίχῳ *δυσηλίους* διορθοῖ *δυσαυλίους* ἢ *δυσχειμερίους*. Ἡμεῖς νομίζομεν ὅτι προσφυέστατα λέγονται αἱ φάραγγες *δυσήλιοι*, διότι ὄντως τοιαῦταί εἰσιν, ἕνεκα τῆς φύσεως αὐτῶν καὶ τῶν ἐν αὐταῖς φυομένων δένδρων· διὰ τοῦτο ὁ Πλούταρχος ἐν βίῳ Μαρίου Κεφ. 11 συνάπτει τὸ ἐπίθετον τοῦτο τῷ *σύσκιος* καὶ *ὑλώδης*. Ὡσαύτως δὲν νομίζομεν ἀναγκαῖον τὸ ἐν τῷ 9 στίχῳ *ἀγκύλοις* νὰ διορθωθῇ *καμπύλοις*, διότι ὑπ' ἄλλων οὕτω λέγεται, ἀφ' οὗ ὡσαύτως ἡ ἰδιότης τοῦ ἀγκύλου ἄριστα προσαρμόζεται τῷ ἀρότρῳ Τὸ δὲ ἐν 13 στίχῳ *κωφεύουσα ῥέουσα*, ὅπερ πλεῖστα παρέσχε πράγματα τοῖς κριτικοῖς, ἡμεῖς νομίζομεν ὅτι πρέπει νὰ διορθωθῇ *κώφιοῦσσ' ἀρρὼξ τε*. Τούτων δὲ ἡ ἔννοια εἶνε σύμφωνος τῷ συμφραζομένῳ *ἀκύμων* (=ἄγονος), διότι καὶ νῦν τόποι ἄγονοι καὶ ἀγεώργητοι ὡς ἐπὶ τὸ πολὺ βρίθουσιν ὄφεων.

98. Τοῦ αὐτοῦ ἀπ. 9.

σὺν αἶσι δόξῃ πρόσθε καὶ γένει μέγας
Ἄργους δυνάστης, λειτὸς ἐκ τυραννικῶν
θρόνων, προσίκτην θαλλὸν ἠγκαλισμένος
ἔστειχεν εἰς γῆν, ὄμμα συμπαθὲς φέρων
καὶ πᾶσι δεικνὺς ὡς τὰ λαμπρὰ τῆς τύχης
τὴν κλῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει.

Ὅτι αἱ δύο πρῶται λέξεις εἰσὶν ἐφθαρμέναι, καὶ τυφλῷ δῆλον. Αἱ γενόμεναι διορθώσεις οὐδεμίαν πιθανότητα ἔχουσιν. Κατὰ τὴν γνώμην ἡμῶν ἐνταῦθα τὸ *σὺν αἶσι* προῆλθεν ἐκ κακῆς ἀναγνώσεως τοῦ κυρίου ὀνόματος *Συλεύς*, ᾧ ὁ Εὐριπίδης σατυρικὸν δρᾶμα ἐπέγραψε (ἰδ. σελ. 575 Nauck). Περὶ τούτου τάδε λέγονται ἐν τοῖς Κραμέρου ἀνεκδότοις (1 σ. 7). « Ἡρακλῆς πραθεὶς τῷ Συλεῖ ὡς γεωργὸς δοῦλος ἔσταλται εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασθαι· ἀνεσπακὼς δὲ δικέλλῃ προρρίζους τὰς ἀμπέλους νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα τοῦ ἀγροῦ θωμούς τε μεγάλους ἐποίησε καὶ τὸν κρείττω τῶν βοῶν θύσας καὶ τὸν πιθεῶνα διαρρήξας καὶ τὸν κάλλιστον πίθον ἀπο-

πωμάσας τὰς θύρας τε ὡς τράπεζαν θεὶς ἤσθιε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦντας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέψας τὰ πάντα κατέκλυσεν». Πιθανὸν ὁ Συλεὺς οὗτος, ὁ τοῦ Ποσειδῶνος υἱός, ὑπὸ τοῦ Μοσχίωνος εἰκονίζετο ὡς ἱκέτης, ἀφ' οὗ ἔπαθεν ὅσα ἔπαθεν ὑπὸ τοῦ Ἡρακλέους. Διορθωτέος λοιπὸν ὁ πρῶτος στίχος

Συλεὺς ὁ δόξῃ πρόσθε καὶ γένει μέγας

99. Λυκόφρονος ἀπ. 1.

παῖδες κρατίστου πατρὸς ἐξωλέστατοι,
ἐγὼ μὲν ὑμῖν, ὡς ὁρᾶτε, στρηνιῶ·
δεῖπνον γὰρ οὔτ' ἐν Καρίᾳ, μὰ τοὺς θεούς,
οὔτ' ἐν Ῥόδῳ τοιοῦτον οὔτ' ἐν Λυδίᾳ
κατέχω δεδειπνηκώς, Ἄπολλον, ὡς καλόν.

Διόρθου ἀντὶ τοῦ *κατέχω* γράφων *ποτ' ἔχω*.

100. Τοῦ αὐτοῦ ἀπ. 2.

ἀλλὰ κυλίκιον
ὑδαρὲς ὁ παῖς περιῆγε τοῦ πεντωβόλου
ἀτρέμα παρεξεστηκός· ὅ τ' ἀλιτήριος
καὶ δημόκοινος ἐπεχόρευε δαψιλὴς
θέρμος, πενήτων καὶ τρικλίνου συμπότης.

Διορθωτέον τὸ *καὶ τρικλίνου* ἅτε ἀνάρμοστον πένησιν, οἷς συμπότης ὁ θέρμος ἦν, γράφων

θέρμος, πενήτων κἀτρικλίνων συμπότης.

101. Σωσιφάνους ἀπ. 1.

μάγοις ἐπῳδαῖς πᾶσα Θεσσαλὶς κόρη
ψευδὴς σελήνης αἰθέρος καταιβάτις.

Περὶ τοῦ β' στίχου ὁ Ναύκιος λέγει ὅτι εἶνε graviter corruptus, ὁ δὲ Οὐεκλεῖνος διορθοῖ αὐτὸν ὧδε

κεύθει σελήνην αἰθέρος καταιβάτιν

ὁ δὲ Βεργχάρδος

σπεύδει σελήνης αἰθέρος καθαίρεσιν.

Ἡμεῖς νομίζοντες ὅτι ὁ β' στίχος οὐδεμιᾶς διορθώσεως δεῖται νοοῦ-

μεν τὸ ἀπόσπασμα ὧδε· *πᾶσα θεσσαλὶς κόρη μάγοις ἐπῳδαῖς ψευδὴς καταιβάτις ἐστὶ σελήνης ἀπ' αἰθέρος.* Ὅτι δὲ τὸ καταιβάτις δύναται νὰ συνταχθῇ γενικῇ πρβλ. Εὐρ. Ἀνδ. 111

πολλὰ δέ μοι δάκρυα κατέβα χροός.

102. Τοῦ αὐτοῦ ἀπ. 2.

νῦν σοι πρὸς ὄψιν θυμὸς ἡβάτω, γέρον·
νυνὶ δεῖ γ' ὀργήν, ἡνίκ' ἠδικοῦ, λαβεῖν.

Διορθωτέον

νῦν σοι πρὸς ὀξὺ θυμὸς ἡβάτω, γέρον·
νῦν ἡδὺ γ' ὀργὴν ⟨σ',⟩ ἡνίκ ἠδικοῦ, λαβεῖν.

Περὶ μὲν τοῦ *ὀργὴν λαβεῖν* πρβλ. Εὐρ. Ἰκ. 1050, περὶ δὲ τοῦ *ὀξέος θυμοῦ* πρβλ. Σοφ. Οἰδ. Κ. 1193.

103. Σωσιθέου ἀπ. 2.

. . . .

στ. 9 ἐργάζεται δ' ἐλαφρὰ πρὸς τὰ σιτία.

Διόρθου

ἐργάζεται δ' ὄλεθρον πρὸς τὰ σιτία.

104. Βιότου ἀπ. 1.

⟨γύναι,⟩ τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις
πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.

Οὕτω συμπληροῦμεν τὸν α' στίχον.

105. Ἀδέσπ. ἀπ. 102.

τὸ μέλλον οὐδεὶς ἀσφαλῶς ἐπίσταται·
ἡ γὰρ τύχη βραχεῖαν ἢν λάβῃ ῥοπήν,
καὶ τοὺς ταπεινοὺς ⟨ὑψόσ' ἦρ' ὑπερνεφεῖς⟩
καὶ τοὺς ἀφ' ὕψους εἰς ζόφον κατήγαγεν.

Οὕτω συμπληροῦμεν ἐκ τῶν συμφραζομένων εἰκάζοντες.

106. Ἀδέσπ. ἀπ. 111.

⟨ὡς ταῦτ'⟩ ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ

παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν
πόνους ὁρῶντας εἰς ὅσους φυτεύομεν.

Καὶ οὕτω δύναται νὰ συμπληρωθῇ ὁ α' στίχος.

107. Ἀδέσπ. ἀπ. 119.

τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος·
ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ,
δοκεῖ τι φράζειν τοῖς κλύουσιν ἀτρεκές

Ἐν τῷ τελευταίῳ στίχῳ ἐγράψαμεν *κλύουσιν ἀτρεκὲς* ἀντὶ τοῦ ἐν τοῖς χειρογράφοις *ἀκούουσιν σαφές*.

108. Ἀδέσπ. ἀπ. 154.

⟨μισῶ⟩ λαθραίαν κύπριν, αἰσχίστην νόσων.

οὕτω συμπληροῦμεν τὸν στίχον τοῦτον.

109. Ἀδέσπ. ἀπ. 276.

χυτλὸς δὲ κρατὸς ὄγκος εὔσκιος παρῆν.

Διόρθου ἢ μᾶλλον ἀνάγνωθι τὸ ἐν τοῖς χειρογράφοις ΟΙCOC

χυτλὸς δὲ κρατὸς οἶσος εὔσκιος παρῆν.

110. Ἀδέσπ. ἀπ. 283.

γύναι, τί μοι τραχεῖα κοὐκ εἰθισμένως
λαλεῖς;

Ὀρθῶς ὁ Βιλλαμοβίτσιος λέγει alienum esse τὸ λαλεῖς a poetae verbis. Γραπτέον

γύναι, τί μοι τραχεῖα κοὐκ εἰθισμένως
λάσκεις;

111. Ἀδέσπ. ἀπ. 297.

ἔνεισιν ἐν δειλοῖσιν ἀνδρεῖοι λόγοι

Διορθωτέον

ἔνεισι κἂν δειλοῖσιν ἀνδρεῖοι λόγοι.

112. Ἀδέσπ. ἀπ. 350.

τί δῆτα θύειν δεῖ σε κατθανούμενον;
ἄμεινον οὐδεὶς κάματος εὐσεβεῖν θεούς

Διορθωτέον

Α. τί δῆτα θύειν δεῖ σε κατθανούμενον;
Β. οὐδεὶς ἀμείνων κάματος ἢ σέβειν θεούς.

113. Ἀδέσπ. ἀπ. 410.

πολλοῦ σε θνητοῖς ἄξιον τίκτει πατήρ,
⟨ὡς⟩ μή τι παυσώμεσθα δρῶντες εὖ βροτούς.

Οὕτω συνεπληρώσαμεν τὸν β' στίχον.

114. Ἀδέσπ. ἀπ. 432.

παρ' οὐδὲν ἄγειν. Σοφοκλ. Ἀντιγ. 34 «καὶ τὸ πρᾶγμ' ἄγειν οὐχ ὡς παρ' οὐδέν». Ἀριστείδ. Τόμ. Β', σελ. 94 «ἐὰν καὶ παρ' οὐδὲν ἄγειν ἐπιστέλλων». Δί. Κάσσ. ΛϚ', με', 2 «Κρήτην μὲν ἢ τἄλλα τὰ ἐν τῇ θαλάσσῃ — παρ' οὐδὲν ἔτ' ἤγαγε» καὶ ΜΖ', κδ', 4 «ὕστερον δὲ — παρ' οὐδὲν αὐτὴν ἤγαγεν». Μάξ. Πλανούδ. ἐν Βαχμ. Ἀνεκδ. Τόμ. Β', σελ. 130, 14 «ἐκεῖνος τῆς ἀρχῆς δραξάμενος παρ' οὐδὲν ἦγε τοὺς ἄλλους».

παρ' οὐδὲν ποιεῖσθαι. Πολύβ. ΙΔ', ζ', 3 «ἑτοίμως τὴν παροῦσαν ὠφέλειαν οἱ στρατιῶται παρ' οὐδὲν ποιούμενοι διετίθεντο τοῖς ἐμπόροις» καὶ ΙϚ', ιγ', 3 «παρ' οὐδὲν ποιησάμενος τὰς προειρημένας πίστεις ἐπεβάλετο παρασπονδῆσαι τὴν τῶν Μεσσηνίων πόλιν» καὶ ΚΑ', κα', 4 «ἡμᾶς δὲ — παρ' οὐδὲν ποιήσεσθε». Δί. Κάσσ. ΟΑ', κδ', 3 «παρ' οὐδὲν ἂν τὸ πρᾶγμα ἐποιησάμην». Πλούτ. Ἠθικ. σελ. 29 γ' «παρ' οὐδὲν ἐποιήσατο κατηγορῆσαι τοῦ βασιλέως» καὶ Κάτ. Πρεσβυτ. Γ', 5 «παρ' οὐδὲν ἐποιήσατο γενέσθαι διάφορος». Αἰλιαν. Ποικ. Ἱστορ. Ε', 3 «τὴν μὲν Βριάρεω μνήμην παρ' οὐδὲν ἐποιήσαντο» καὶ περὶ Ζῴ. ΙΔ', 28 «ὁ δὲ καὶ ταύτην παρ' οὐδὲν ποιεῖται τὴν χάριν». Ἀριστείδ. Τόμ. Α', σελ. 793 «ὧν δ' ἐξῆν ἡμῖν ἐπιεικείᾳ χρωμένοις ἀπολαύειν παρ' οὐδὲν ποιούμεθα» καὶ Τόμ. Β', σελ. 305 «σὲ δ' ὁρῶν καὶ συνὼν παρ' οὐδὲν ἐποιεῖτο». Θεμίστ. Λόγ. σελ. 364 γ' «παρ' οὐδὲν ἐποιεῖτο δήμου καὶ ὄχλου ὑπεροψίαν». Ἡλιόδ. Αἰθιοπ. Η', 5 «παρ' οὐδὲν μὲν τὸν προφήτην καὶ τὸ προφητικὸν ἀξίωμα ποιησαμένη».

παρ' οὐδὲν ἡγεῖσθαι. Πλούτ. Γάλβ. Ε', 3 «παρ' οὐδὲν ἡγεῖσθαι τὰ Γαλατῶν». Δί. Χρυσόστ. Τόμ. Α', σελ. 160 «παρ' οὐδὲν μὲν

ἡγούμενος εἰ καί τι πείσεται» καὶ σελ. 577 «καὶ ταύτην παρ' οὐδὲν ἡγησάμενοι». Διόδ. Σικελ. ΙΓ', νε', 4 «τὴν αἰδῶ καὶ τὴν ἐπὶ τῆς εἰρήνης αἰσχύνην παρ' οὐδὲν ἡγούμενοι» καὶ ΙΔ', λε', 5 «τήν τε εὐεργεσίαν καὶ τὸ πρὸς τοὺς ἱκέτας ὅσιον παρ' οὐδὲν ἡγησάμενος». Διονύσ. Ἁλικαρν. Ῥωμ. Ἀρχ. σελ. 1476 «αὐτὸς δ' ἐκ τῶν ὕπνων ἔφη ἀναστὰς παρ' οὐδὲν ἡγήσασθαι τὸ ὄναρ». Κλήμ. Ἀλεξ. σελ. 539 «καταφρονοῦσι δὲ θανάτου καὶ παρ' οὐδὲν ἡγοῦνται τὸ ζῆν». Φέρεται δὲ καὶ ἐν ψηφίσματι παρεγγεγραμμένῳ ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ τοῦ Δημοσθένους σελ. 282, 164 «παρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας» (Ἴδε καὶ Βαλκενάριον ἐν *Διατρ*. σελ. 9 καὶ Λοκέλλαν εἰς *Ξενοφ*. *Ἐφέσ*. σελ. 80 Πηρλ.).

παρ' οὐδὲν λογίζεσθαι. Σουΐδ. «Ἐξεφαύλισαν: παρ' οὐδὲν ἐλογίσαντο» καὶ «Κλάειν ἐῶσι: καταφρονοῦσι, παρ' οὐδὲν λογίζονται»

παρ' οὐδὲν εἶναι. Σοφοκλ. Οἰδ. Τ. 983 «ἀλλὰ ταῦθ' ὅτῳ παρ' οὐδέν ἐστι ῥᾷστα τὸν βίον φέρει». Εὐριπίδ. Ὀρέστ. 569 «παρ' οὐδὲν αὐταῖς ἦν ἂν ὀλλύναι πόσεις». Ῥίνθων παρὰ Κικέρ. Ἐπιστ. πρὸς Ἀττ. Α', 20 «οἱ μὲν παρ' οὐδέν εἰσι, τοῖς δ' οὐδὲν μέλει». Θεμιστ. Λόγ. σελ. 226 β' «ᾧ παρ' οὐδὲν ἦν καὶ ἐν φαύλῳ ἀνθρώπου ἀποτεμεῖν κεφαλήν». Τὴν ῥῆσιν τοῦ Ῥίνθωνος μετέγραψεν ὁ Φρίσχιος ἐν τῷ εἰς τοὺς Ἀριστοφάνους Βατράχους Ὑπομνήματι (σελ. 31) ὧδε· «οἱ μὲν *γὰρ οὐκέτ'* εἰσί, τοῖς δ' οὐδὲν μέλει» (Πρβ. καὶ Βλαϋδέσιον εἰς *Ἀριστοφ*. *Βατρ*. σελ. 203). Παρὰ τῷ Ἀρριανῷ ἀπαντᾷ Ἀναβ. Α', ιη', 6 «νικηθεῖσι δὲ οὐ παρὰ μέγα ἔσεσθαι τὸ πταῖσμα» καὶ Α', κγ', 5 «οὐ παρὰ μέγα εἶναι ἐξελόντι οἱ τὴν πόλιν ἤδη πᾶσαν» (Πρβ. καὶ Ὀθ. Σνειδῆρον εἰς *Ἰσοκράτ*. Τόμ. Β', σελ. 35 ἐκδ. γ').

Ἐλέχθη δὲ καὶ *παρ' οὐδὲν κήδεσθαι* ὑπὸ τοῦ Σοφοκλέους Ἠλ. 1329 «πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι ἢ κτέ.;» (Ἴδε Ῥαούϊον ἐν *Stud. z. Griech. u. Lat. Gramm*. Τόμ. Γ', σελ. 76. Πρβ. καὶ Ἀβρέσχιον ἐν *Παρατηρήσ*. *εἰς Αἰσχύλ*. Βιβλ. Β', σελ. 269-70 καὶ Βιβλ Γ', σελ. 26).

Σημειωτέον δ' ὅτι ἐν τῇ Ἀντιγόνῃ τοῦ Σοφοκλέους στίχ. 465 φέρεται «οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν *παρ' οὐδὲν ἄλγος*», οὗ γίνεται ἐξήγησις ἐν τοῖς Σχολίοις διὰ τοῦ *οὐδεμία λύπη*. Ὁ Ναύκιος πλημμελῆ ὑπολαμβάνων τὴν παραδεδομένην γραφὴν εἰκάζει (ἐν

Mél. Gréco-Rom. Τόμ. Β', σελ. 243) «οὕτως ἔμοιγε τοὐδὲ τοῦ μόρου τυχεῖν *παρ' οὐδέν*· ἀλλ' ἄθαπτον εἰ τὸν ἐξ ἐμῆς μητρὸς πατρός τε τὸν θανόντ' ἠνεσχόμην», ὃ οὐ λίαν ἡμῖν ἀρέσκει. Πρβ. καὶ Γ. Δινδόρφιον εἰς *Σοφοκλ.* Τόμ. Η', σελ. 207 Ὀξ.

Ἐν τῷ πρὸς Μάρκελλαν συγγραμματίῳ τοῦ Πορφυρίου κεφ. Λ' κεῖται «δυστυχοῦντας δὲ μὴ *περὶ* μέγα τίθεσθαι τῶν τὸ εὐτυχεῖν». Ἔγραψε δ' ἀντ' αὐτοῦ ὁ Οὐσενῆρος «δυστυχοῦντας δὲ μὴ *παρὰ* μέγα τίθεσθαι τὸ εὐτυχεῖν», ὃ καὶ ὑπὸ τοῦ Ναυκίου ἐνεκρίθη ἐν τῇ Β' ἐκδόσει Συγγραμματίων τοῦ Πορφυρίου σελ. 293, 18. Ἐν τοῖς ἄνω ἐμνημονεύσαμεν παραδείγματα τοῦ *οὐ παρὰ μέγα* ἐκ τοῦ Ἀρριανοῦ. Εὕρομεν δὲ καὶ παρὰ τῷ Φιλοδήμῳ περὶ Ὀργ. ΜΒ', 6 (σελ. 138 Κομπ.) «οὐδὲν (ἡγούμενος) παρὰ μέγα τῶν ἔξωθεν» καὶ ΜΖ', 38 (σελ. 155) «οὐδὲν εἶναι παρὰ μέγα τῶν ἔξωθεν ἡγούμενος» καὶ ΜΗ', 19 (σελ. 156) «ἀλλὰ καὶ ἐπὶ τῶν ἀγαθῶν τίθεται τὸ μηθὲν εἶναι παρὰ μέγα τῶν ἔξωθεν».

Ὁ πολὺς Κόβητος ποιούμενος λόγον (ἐν *Orat. de Artè Interpr.* σελ 99) περὶ τοῦ κειμένου παρὰ τῷ Λυσίᾳ κατ' Ἐρατοσθ. 7 «ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους *περὶ οὐδενὸς ἡγοῦντο*, λαμβάνειν δὲ χρήματα περὶ πολλοῦ ἐποιοῦντο» ἀπεφήνατο ὅτι ἀλλότριον τοῦτο τῆς συνηθείας τῶν Ἀττικῶν ὑπάρχει, ὑφ' ὧν μόνον τὸ *παρ' οὐδὲν ἡγεῖσθαι* εἶνε εἰρημένον. Ἀλλ' ἐν τῇ ἐκδόσει τοῦ Λυσίου σελ. 85, 7 ἐτήρησε τὴν παραδεδομένην γραφήν. Πρβ. καὶ σελ. 63, 26 «καίτοι οὐ δήπου τὰς μὲν μικρὰς ζημίας οὕτω περὶ πολλοῦ ποιοῦμαι, τοὺς δὲ περὶ τοῦ σώματος κινδύνους *περὶ οὐδενὸς ἡγοῦμαι*» καὶ σελ. 242, 31 «οὗτος μὲν ἅπαντας τοὺς πολίτας *περὶ οὐδενὸς ἡγήσατο*» καὶ σελ. 28, 71 «οἱ πάντα *περὶ ἐλάττονος* τῆς ἀρετῆς *ἡγούμενοι* αὐτοὺς μὲν ἀπεστέρησαν βίου, κτέ.».

Παραδοξοτέρα ἐφάνη ἡμῖν ἡ δόξα ἣν ὁ μέγας κριτικὸς δοξάζει ἐν τῇ Μνημοσύνῃ (187˙, σελ. 77) γράφων ὅτι οἱ παλαιοὶ οὐχὶ ἄλλως ἔλεγον ἢ *περὶ πολλοῦ, περὶ πλείονος, περὶ πλείστου, παρ' οὐδὲν ΠΟΙεῖσθαι*, ἀνθ' οὗ ὑπὸ τῶν μεταγενεστέρων παραλαμβάνεται τὸ *'ΗΓεῖσθαι*. Ἱκανὰ μαρτύρια δύναταί τις ἐκ παλαιῶν συγγραφέων νὰ καταλέξῃ τῆς ὑπὸ τοῦ Κοβήτου ἀποδοκιμαζομένης χρήσεως. Ὁ Ἡρόδοτος εἶπε βιβλ. Β', 115 «εἰ μὴ περὶ πολλοῦ ἡγεύμην μηδένα ξείνων

κτείνειν» καὶ μετ' ὀλίγα «ἐπειδὴ περὶ πολλοῦ ἥγημαι μὴ ξεινοκτονέειν» καὶ ὁ Θουκυδίδης βιβλ. Β', 89,9 «ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθαι» καὶ ὁ Πλάτων Πρωταγ. σελ. 313 α' «ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγεῖ, τὴν ψυχήν, κτέ.» καὶ Λύσ. σελ. 208 β' «καὶ δοῦλον, ὡς ἔοικεν, ἡγοῦνται περὶ πλείονος ἢ σὲ τὸν υἱόν» καὶ ὁ Ἰσοκράτης περὶ Εἰρήν. 135 «ἢν μηδὲν περὶ πλείονος ἡγῆσθε μετά γε τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν» καὶ Αἰγινητ. 10 «περὶ πλείονος ἡμᾶς αὐτοὺς ἡγούμεθ' ἢ τοὺς ἀδελφούς» καὶ ὁ Δημοσθένης κατ' Ἀριστοκρ. 134 «μὴ τὴν ἤδη χάριν τοῦ μετὰ ταῦτα χρόνου παντὸς περὶ πλείονος ἡγεῖσθαι». Παρεθέμεθα δ' ἐν τοῖς ἄνω ἐκ τοῦ Λυσίου παραδείγματα τοῦ *περὶ οὐδενὸς ἡγεῖσθαι*. Ἐν τῷ κατὰ Φιλοκλέους λόγῳ τοῦ Δεινάρχου § 10 ἔχουσι τἀντίγραφα «ὅστις γὰρ ἀργύριον καὶ χρυσίον περὶ πλείονος τῆς πρὸς ὑμᾶς πίστεως *αἱρεῖται* καὶ μήθ' ὅρκου μήτ' αἰσχύνης μήτε δικαίου πλείω λόγον ἢ τοῦ λαμβάνειν ποιεῖται, οὗτος κτέ.». Ὁ Βλάσσιος ἐνέκρινεν ἐν τῇ ἐκδόσει τοῦ Δεινάρχου τὴν ὑπὸ τοῦ Βαιτήρου καὶ Σαυπίου γενομένην μεταβολὴν τοῦ *αἱρεῖται* εἰς τὸ *ἡγεῖται*. Ἔγραψε δὲ καὶ ὁ Μαιτζνῆρος ἐν τῇ ἐκδόσει τοῦ κατὰ Λεωκράτους λόγου τοῦ Λυκούργου σελ. 94 «mira, quae obvia est apud Dinarch. in Philocl. § 10. περὶ πλείονος — αἱρεῖται, ubi ἡγεῖται reponendum esse videtur». Ἀλλ' ἐν τῇ ἔπειτα γενομένῃ ὑπ' αὐτοῦ ἐκδόσει τοῦ Δεινάρχου (σελ. 74) ἀμνημονῶν ὅλως ἧς ἄλλοτ' ἀπεφήνατο ὀρθῆς γνώμης μετετύπωσε μὲν τὸ *αἱρεῖται* εἰς τὸ *ποιεῖται*, περιέγραψε δ' αὐτὸ ὡς παρεμβεβλημένον.

Ἄξιον ἐπιστάσεως εἶνε τὸ ἐν τοῖς Λόγοις τοῦ Θεμιστίου ἁπάντων σελ. 17 β' «καίτοι εἰ ἀνθρώπους περὶ πολλοῦ *νενόμικε*, περὶ πλείστου *νομίζει* τοὺς φίλους, καὶ εἰ τοὺς ζῶντας ὑπ' αὐτὸν ἀγαπᾷ, μάλιστα ἀγαπήσει τοὺς καὶ συζῶντας». Ὁ Κοβητος ἐν τῇ Μνημοσύνῃ (1862, σελ. 246) μεταβάλλει μὲν τὸ *νομίζει* εἰς τὸ *νομιεῖ*, παρατηρεῖ δ' ὅτι ἐσφάλη ὁ Θεμίστιος εἰπὼν παρὰ τὴν τοῦ ἑλληνισμοῦ συνήθειαν *περὶ πολλοῦ νομίζειν* ἀντὶ τοῦ *περὶ πολλοῦ ποιεῖσθαι*. Οὐδεμία ἡμῖν ἀμφιβολία ὑπάρχει ὅτι κατὰ τὸ *περὶ πολλοῦ ἡγεῖσθαι* ἐρρήθη ὑπὸ τοῦ Θεμιστίου καὶ ἄλλων ἴσως μεταγενεστέρων *περὶ πολλοῦ νομίζειν*, οὗ οὐδὲν παρὰ τοῖς ἐνδόξοις εὑρέθη παράδειγμα (Πρβ. καὶ Ἰ. Σμιδίτιον ἐν *Synonym. d. Griech. Spr.* Τόμ. Α', σελ. 337).

Οὐκ ἀγνοητέον δ' ὅτι ἐν τῇ ῥήσει τοῦ Ἡροδότου βιβλ. Β', 1 «Καμβύσης Ἴωνας μὲν καὶ Αἰολέας ὡς δούλους πατρωίους ἐόντας ἐνόμιζε, ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο στρατηλασίην» προσθεὶς ὁ Κόβητος (ἐν *Μνημοσ.* 1883, σελ. 123) πρὸ τοῦ *ἐνόμιζε* τὸ *παρ' οὐδὲν* ἀνέγνω «ὡς δούλους πατρωίους ἐόντας ΠΑΡ' ΟΥΔΕΝ ἐνόμιζε»· ἐπήνεγκε δὲ τάδε· «id est κατεφρόνει, λόγον οὐδένα ἐποιεῖτο, *contemnebat, nullam rationem habebat, non curabat.* Notum est et frequens παρ' οὐδὲν τίθεσθαι, ποιεῖσθαι, ἡγεῖσθαι, et eodem sensu παρ' οὐδὲν νομίζειν dicitur».

Πολλάκις γίνεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ χρῆσις τοῦ *περὶ πολλοῦ, περὶ πλείονος, περὶ πλείστου ποιεῖσθαι.* Ἐν Ἀττικῇ ἐπιγραφῇ φέρεται «καὶ ταῦτα πεποίηκεν οὔτε χάριν οὐδὲ πρὸς ἕνα περὶ πλείονος ποιούμενος τῶν συμφερόντων τῇ φυλῇ οὔτε δωροδοκούμενος οὐδ' ὑφ' ἑνός» (Συναγ. Ἐπιγρ. Ἀττ. Β', 564, 10). Ὑπὸ τοῦ Εὐσταθίου εἶνε εἰρημένον ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1028, 54 «περὶ πολλοῦ γὰρ τὰς τῶν γυναικῶν ὕβρεις ποιούμεθα», ὃ ὁμοίαν ἐμφαίνει ἔννοιαν τῷ «μέγα γὰρ (ἢ δεινὸν) τὰς τῶν γυναικῶν ὕβρεις ποιούμεθα (ἢ ἡγούμεθα)». Λέγεται δὲ καὶ *περὶ παντὸς ποιεῖσθαι, περὶ παντὸς ποιητέον*, οἷον παρὰ Ξενοφῶντι Κύρ. Παιδ. Α', δ', 1 «διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι» καὶ Ἑλλην. Δ', α', 34 «σοί γε μέντοι φίλοι γενέσθαι περὶ παντὸς ἂν ποιησαίμεθα» καὶ Δ', η', 6 «περὶ παντὸς ἐποιεῖτο ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν καὶ τιμωρήσασθαι» καὶ Ἀναβ. Α', θ', 16 «περὶ παντὸς ἐποιεῖτο τούτους πλουσιωτέρους ποιεῖν» καὶ Β', δ', 3 «βασιλεὺς ἡμᾶς ἀπολέσαι ἂν περὶ παντὸς ποιήσαιτο» καὶ παρὰ Ψευδοξενοφῶντι Ἀπολ. 22 «Σωκράτης τὸ μὲν μήτε περὶ θεοὺς ἀσεβῆσαι μήτε περὶ ἀνθρώπους ἄδικος φανῆναι περὶ παντὸς ἐποιεῖτο» καὶ παρ' Ἰσοκράτει πρὸς Νικοκλ. 15 «περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν» καὶ Πανηγυρ. 174 «ὧν ἕνεκα περὶ παντὸς ποιητέον ὅπως κτέ.» καὶ παρὰ Πλάτωνι Πολιτ. σελ. 378 ε' «περὶ παντὸς ποιητέον ἃ πρῶτα ἀκούουσιν ὅτι κάλλιστα μεμυθολογημένα πρὸς ἀρετὴν ἀκούειν». Πρβ. καὶ Ξενοφ. Ἀπομν. Δ', β', 30 «περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν» καὶ Πλάτ. Πολιτ. σελ. 389 β' «ἀλλὰ μὴν καὶ ἀλήθειάν γε περὶ πολλοῦ ποιητέον» καὶ Κρίτ. σελ. 48 β' «οὐ τὸ

ζῆν περὶ πλείστου ποιητέον ἀλλὰ τὸ εὖ ζῆν» καὶ Θεμίστ. Λόγ. σελ. 117 β' «οὐδὲν γὰρ οὕτω περὶ πλείστου βασιλεῖ ποιητέον ἐστίν, ὡς κτέ.». Ἀπαντᾷ δὲ καὶ ἐν ταῖς Ἱστορίαις τοῦ Πολυβίου βιβλ. Ε', μα', 4 «περὶ παντὸς ἐποιεῖτο βουλόμενος ἐπανελέσθαι τὸν ἀποκομίσαντα τὰς δυνάμεις» καὶ ν', 4 «περὶ παντὸς ἐποιεῖτο σπουδάζων διὰ τὴν ἐμπειρίαν τῶν πολεμικῶν συστρατεύειν αὐτῷ τὸν Ἐπιγένην».

Ἐναντία τοῦ *περὶ πολλοῦ, περὶ πλείονος, περὶ πλείστου ποιεῖσθαι* ὑπάρχουσι τὸ *περὶ σμικροῦ* ἢ *ὀλίγου, περὶ ἐλάττονος, περὶ ἐλαχίστου ποιεῖσθαι*, οἷον Πλάτ. Νόμ. σελ. 950 β' «χρὴ δὲ οὔποτε περὶ σμικροῦ ποιεῖσθαι τὸ δοκεῖν ἀγαθοὺς εἶναι τοῖς ἄλλοις ἢ μὴ δοκεῖν» καὶ Πολιτ. σελ. 386 α' «τήν τε ἀλλήλων φιλίαν μὴ περὶ σμικροῦ ποιησομένοις». Ἰουλιαν. σελ. 89 α' «ὃν οὐδαμῶς ὅ γε ἔμφρων ἀνὴρ περὶ σμικροῦ ποιήσεται οὐδὲ ἀτιμάσει». Ἰσοκράτ. (ἢ Ψευδισοκρ.) Τραπεζιτ. 58 «ὥστ' οὐκ ἂν εἰκότως περὶ ὀλίγου ποιήσαισθε τὰς ἐκείνων ἐπιστολάς» καὶ πρὸς Καλλίμ. 63 «τὴν ψυχὴν τὴν ἐμαυτοῦ περὶ ἐλάττονος φαίνομαι ποιούμενος τοῦ παρ' ὑμῖν εὐδοκιμεῖν». Πλάτ. Ἀπολ. σελ. 30 α' «ὅτι τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖται, τὰ δὲ φαυλότερα περὶ πλείονος». Πρβ. καὶ Προκόπ. Τόμ. Γ', σελ. 22, 2, «ὅτι δὴ τῆς πολιτείας τὰ καιριώτατα αὐτὸς περὶ ἐλάσσονος πραγμάτων τῶν κατὰ τὴν οἰκίαν πεποίηται». Παρὰ Λυσίᾳ ἐν τῷ κατ' Ἀλκιβιάδου Β' λόγῳ, § 11 ἡ παραδεδομένη γραφὴ εἶνε «ὑμεῖς οὖν — τὰς τούτων δεήσεις περὶ ἐλαττόνΩΝ ποιησάμενοι τὰ δίκαια ψηφίσασθε». Ὁ Μάρκλανδος μετετύπωσε τὸ *ἐλαττόνΩΝ* εἰς τὸ *ἐλάττονΟΣ*, ἀλλ' ὁ Κόβητος νομίζει ἐν τῇ Μνημοσύνῃ 1882, σελ. 332 ὅτι ἐγράφη ὑπὸ τοῦ Λυσίου «περὶ ἐλάττονος ΤΩΝ ΝΟΜΩΝ ποιησάμενοι». Ἐν ἑτέρῳ λόγῳ τοῦ Λυσίου (ὑπὲρ τοῦ Ἐρατοσθ. Φόν. 26) ἔκειτο πλημμελῶς ἄλλοτε «ὃν (νόμον) σὺ παραβαίνων περὶ ἐλάττονος τῶν ἡδονῶν *ἐποίησΑΣ*» ἀντὶ τοῦ *ἐποιήσΩ*. Ἡ ἀτοπία τοῦ ἐνεργητικοῦ τύπου ἐν τῇ προκειμένῃ ῥήσει παρετηρήθη καὶ ὑπὸ τοῦ Κοραῆ, ὃς ἐν τῇ ἐκδόσει τοῦ Ἰσοκράτους Τόμ. Β', σελ. 289 - 90 λέγει τάδε· «Κατὰ μέσην γὰρ ἀείποτε διάθεσιν ἐκφέρεται τὰ τοιαῦτα, ὥστ' εἴπου ἐνεργητικῶς εὕρηται παρὰ τοῖς δοκίμοις, ἐν τοῖς γραφικοῖς ἁμαρτήμασι τοῦτο χρὴ καταλέγειν, ὡς τῆς Λατίνων φωνῆς μᾶλλον οἰκεῖον (plurimi facio), ἢ τῆς Ἑλληνικῆς, οἷόν ἐστι

τὸ τοῦ Λυσίου ('Απολογ. ὑπὲρ τοῦ Ἐρατοσθ. φόν. σελ. 28). «*Ον* (*νόμον*) *σὺ παραβαίνων περὶ ἐλάττονος ἐποίησας*· γραπτέον γὰρ κἀνταῦθα, Ἐποιήσω, καὶ οὐκ, Ἐποίησας». Παρὰ τὴν συνήθειαν τοῦ παλαιοῦ ἑλληνισμοῦ εἶνε γεγραμμένον ἐν τῇ Ῥωμαϊκῇ Ἱστορίᾳ Νικηφόρου τοῦ Γρηγορᾶ Τόμ. Γ', σελ. 540, 1 «πῶς τἄλλα τῶν ἐγκλημάτων ἅπαντα ἐν δευτέρῳ θέμενος λόγῳ τῷ τῆς Μασαλιανῆς αἱρέσεως ἐμπεφιλοχώρηκε μάλιστα καὶ περὶ πλείστου *πεποίηκε*».

Εὑρίσκεται δ' ἐνίοτε καὶ τῷ ῥήματι *εἶναι* συντεταγμένον τὸ *περὶ πολλοῦ* καὶ *περὶ πλείστου*, οἷον παρ' Ἡροδότῳ βιβλ. Α', 120 «καὶ αὐτοῖσι ἡμῖν περὶ πολλοῦ ἐστι κατορθοῦσθαι ἀρχὴν τὴν σὴν» καὶ παρ' Ἀντιφῶντι περὶ τοῦ Χορ. 6 «αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ κίνδυνοι, περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι» καὶ παρ' Ἀνδοκίδῃ περὶ τῶν Μυστηρ. 29 «ὅπερ ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι» καὶ παρὰ Πλάτωνι Πολιτ. σελ. 374 γ' «τὰ δὲ περὶ τὸν πόλεμον πότερον οὐ περὶ πλείστου ἐστὶν εὖ ἀπεργασθέντα;» καὶ παρὰ Θεμιστίῳ Λόγ. σελ. 205 α' «οὕτω τοῖς τότε ἦν αὐτοκράτορσι περὶ πολλοῦ μηδεπώποτε ἀποστερεῖν τῶν προσηκόντων ἄθλων τὴν ἀρετήν». Ἀνδρέας ὁ Λοπαδιώτης γράφει (Λεξ. Βινδοβ.) σελ. 145, 16 «*Περὶ πολλοῦ*: ἀντὶ τοῦ φροντίδος ἄξιον. Λιβάνιος· ἐμοὶ δὲ ἦν ἐκείνη περὶ πολλοῦ καὶ οὐδὲν ἐκώλυσεν (ἐκώλυεν) ἡ τύχη». Παρὰ Θουκυδίδῃ κεῖται βιβλ.ϛ',11,6 «ὅσῳ καὶ περὶ πλείστου καὶ διὰ πλείστου δόξαν ἀρετῆς μελετῶσιν», οὗ γίνεται ἐξήγησις ἐν τοῖς Σχολίοις διὰ τῶνδε· «ὅσῳ *ὑπὲρ πάντα τὰ ἄλλα* τὴν ἀπ' ἀρετῆς δόξαν θηρῶνται. καὶ ἐν πλείστῳ χρόνῳ μελετῶσιν αὐτήν».

Παραλαμβανομένης τῆς προθέσεως *πρό*, λέγεται *πρὸ πολλοῦ ποιεῖσθαι*, ἀλλ' ἡ ἐκφορὰ αὕτη εἶνε πολλῷ σπανιωτέρα τῆς ἐχούσης τὴν πρόθεσιν *περί*. Ὁ Ἰσοκράτης εἶπε *πρὸ πολλοῦ ἂν ἐποιησάμην* (Φιλ. 138 καὶ Παναθην. 126 καὶ περὶ Ἀντιδ. 15 καὶ Ἐπιστ. Β', 12) καὶ *πρὸ πολλοῦ ποιησαίμην ἄν* (Ἐπιστ. Ζ', 13). Εὕρομεν δὲ καὶ *πρὸ πλείστου τίθεσθαι* ἐν ἐπιγραφῇ παρὰ Διττεμβεργήρῳ (Συλλ. Ἐπιγρ. Ἑλλην. σελ. 354, 6) «πάντα δὲ ταῦθ' ἡγούμενος δεύτερα καὶ πρὸ πλείστου θέμενος τὸ πρὸς τὴν πατρίδα γνήσιον καὶ ἐκτενές». Παρὰ τῷ Γαληνῷ φέρεται Τόμ. ΙΗ', β', σελ. 368 «οἱ δ' ἀλεώτερά πως (γρ. *οἰδαλεώτερά πως*) ἔχοντες τὰ σκέλη *πρὸ παντὸς*

ποιοῦνται νύκτωρ αὐτὰ σχηματίζειν ὑψηλότερα τοῦ ὅλου σώματος». Σημειωτέον δ' ὅτι ἐρρήθη ὑπὸ τοῦ Ἰσοκράτους καὶ κατὰ πληθυντικὸν ἀριθμὸν «*πρὸ πολλῶν* δ' ἂν ἐποιησάμην — ἀκμάζοντί μοι προσπεσεῖν τὸν κίνδυνον» (περὶ Ἀντιδ. 176).

Ὁμοίας τῷ *πρὸ πολλοῦ ποιεῖσθαι* ἐννοίας ἔχεται τὸ *ἀντὶ πολλοῦ ποιεῖσθαι*, οὗ παράδειγμα φέρομεν τὸ ἐν ταῖς Διατριβαῖς τοῦ Ἐπικτήτου βιβλ. Δ', α', 151 «ὁλόκληρον αὐτὸ ἔχειν ἀντὶ πολλοῦ ποιοῦμαι». Ἐλέχθη δὲ καὶ *ἀντὶ παντὸς ποιεῖσθαι* ὑπὸ τοῦ Συνεσίου Ἐπιστ. ΞΖ, σελ. 214 γ'. Πρβ. *αἱρεῖσθαί τι πρό τινος* καὶ *αἱρεῖσθαί τι ἀντί τινος*, περὶ ὧν ἀλλαχοῦ.

Σημειώσεως ἄξιον μάλιστα φαίνεται τὸ ἐν τῷ Οἰδίποδι ἐπὶ Κολωνῷ τοῦ Σοφοκλέους στίχ. 583 «τὰ δ' ἐν μέσῳ ἢ λῆστιν ἴσχεις ἢ *ΔΙ' οὐδενὸς ποιεῖ*». Ἐμνήσθη δὲ τῆς χρήσεως ταύτης ὁ Φρύνιχος ἐν Βεκκ. Ἀνεκδ. σελ. 35, 3 λέγων «Δι' οὐδενὸς ποιεῖσθαι τόνδε. Σοφοκλῆς. Χρῶ». Εἶνε δὲ καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 746 γεγραμμένον «Πλάτωνος μὲν λέγοντος· διὰ τοῦτο καὶ θεοὶ τῶν ἀνθρώπων ἐπιστήμονες οὓς ἂν *ΔΙΑ πλείστου ποιῶνται* θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν· Μένανδρος πεποίηκεν, κτέ.» ἀντὶ τοῦ ἐν τῷ Ἀξιόχῳ τοῦ Πλάτωνος, μᾶλλον δὲ τοῦ Ψευδοπλάτωνος «οἱ θεοὶ τῶν ἀνθρωπείων ἐπιστήμονες οὓς ἂν *ΠΕΡΙ πλείστου ποιῶνται*, κτέ.». Ἴδε καὶ Κόβητον ἐν *Λογ*. *Ἑρμ*. Τόμ. Α', σελ. 522.

Εὑρέθη καὶ μόνη ἡ γενικὴ τεθειμένη, ἄνευ προθέσεως, ἐν τῷ Πρωταγόρᾳ τοῦ Πλάτωνος σελ. 328 δ' «*πολλοῦ* γὰρ *ποιοῦμαι* ἀκηκοέναι ἃ ἀκήκοα Πρωταγόρου». Πρβ. Πολυδεύκ. Ε', 162 «ὃν *πολλοῦ* ἂν τις ἡγήσαιτο *τοῦ μηδενός*». Ὁ Ἀσώπιος γράφει ἐν τῇ Δευτέρᾳ Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 613, § 115 ἐκδ. β' «Τὸ αὐτὸ δὲ ἐκφέρεται, ἀλλὰ πολὺ σπανιώτερον, καὶ διὰ γενικῆς ἀπροθέτου· *πολλοῦ γὰρ ποιοῦμαι ἀκηκοέναι ἃ ἀκήκοα Πρωταγόρου* (Πλ. *Πρωτ*. 328). Ὡσαύτως καὶ *πολλοῦ τιμῶμαι τὴν παρὰ σοὶ κατάκλισιν*» (Πλ. *Συμπ*. 175)». Ἴδε Κρυγῆρον ἐν *Ἑλλην*. *Γραμματ*. Μέρ. Α', § 47, 17, σημ. 2. Ἐν ἀποσπάσματι τοῦ Φιλήμονος ἀνεγνώσθη ὑπὸ τοῦ Βεντλήιου «ὁ ποιῶν δ' *ἐλαχίστΟΥ* τὸ γεγενημένον (κακόν)» ἀντὶ τοῦ «ὁ ποιῶν δ' *ἐλάχιστΟΝ* τὸ γεγενημένον». Ἀποδοκιμάζων δὲ τὴν μεταβολὴν ταύτην ὁ Κόκκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων

τῶν Κωμικῶν Τόμ. Β', σελ. 515 γράφει «ἐλαχίστου Bentl. at *non dicitur ἐλαχίστου τι ποιεῖν, sed ποιεῖσθαι*». Κατὰ τὴν γνώμην τοῦ Ἀστίου ἐξερρύη ἐν τῷ Πλατωνικῷ χωρίῳ πρὸ τοῦ ἐπιθέτου *πολλοῦ* ἡ πρόθεσις *περί*. Ὁ δὲ Γ. Δινδόρφιος ὑπελάμβανε πιθανώτερον ὅτι ἐλέχθη ὑπὸ τοῦ Πλάτωνος «*πρὸ* πολλοῦ γὰρ ποιοῦμαι ἀκηκοέναι κτέ.». Παρατιθέμεθα τὰ ὑπ' αὐτοῦ γεγραμμένα ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. ϛ', σελ. 1296 «Cum praep. περὶ in hujusmodi locutionibus saepissime construxit etiam Plato: semel cum genitivo simplici Prot. p. 328, Δ: Πολλοῦ γὰρ ποιοῦμαι ἀκηκοέναι ἃ ἀκήκοα Πρωταγόρου· ubi si praepositio excidit, non περὶ addendum erit, quae Astii sententia fuit, sed probabilius πρὸ πολλοῦ... Sic Isocr. p. 110, B: Πρὸ πολλοῦ δ' ἂν ποιησαίμην». Ἀλλ', ὡς ὁ Ἄστιος, οὕτω καὶ ὁ Κόβητος ἐνόμιζεν ὅτι ἡ πρόθεσις *περί* ἐξέπεσεν ἐν τῇ περὶ ἧς ὁ λόγος ῥήσει. Τάδε γράφει ὁ μέγας κριτικὸς ἐν τῇ Μνημοσύνῃ 1880, σελ. 339 «Latinum est *magni facio*, sed Graecum ΠΕΡΙ πολλοῦ ποιοῦμαι. Sequente Πολλοῦ facile compendium $\overset{\varepsilon}{\pi}$ (id est περί) excidere potuit. Sexcenties et apud reliquos et apud Platonem legitur ποιεῖσθαι περὶ πολλοῦ, πλείονος, πλείστου, ἐλαχίστου, τοῦ παντός et sim. numquam sine praepositione». Ὑπὸ τοῦ Ἡροδότου εἶνε τὸ *ποιήσασθαι* συντεταγμένον τῇ γενικῇ *λόγου οὐδενός* βιβλ. Α', 33 «οὔτε λόγου μιν ποιησάμενος οὐδενός». Πρβ. καὶ βιβλ. Α', 120 «λόγου οὐδενὸς γινόμεθα πρὸς Περσέων» καὶ 143 «πολλῷ ἦν ἀσθενέστατον τῶν ἐθνέων τὸ Ἰωνικὸν καὶ λόγου ἐλαχίστου» καὶ βιβλ. Γ', 4 «οἷα δὲ ἐόντα αὐτὸν ἐν τοῖσι ἐπικούροισι λόγου οὐ σμικροῦ» καὶ 146 «τοὺς διφροφορεομένους τε καὶ λόγου πλείστου ἐόντας ἔκτεινον» καὶ βιβλ. Δ', 138 «ἐόντες λόγου πρὸς βασιλέος».

Φανερὸν ἐκ τῶν διειλημμένων κατέστη ὅτι ἐλέγετο ἑλληνιστὶ οὐ μόνον *περὶ πολλοῦ*, κτλ. *ποιεῖσθαι* καὶ *περὶ οὐδενὸς ποιεῖσθαι* ἀλλ' ἐνίοτε καὶ *περὶ πολλοῦ* κτλ. *ἡγεῖσθαι* καὶ *περὶ οὐδενὸς ἡγεῖσθαι* καὶ ὅτι πρὸς τῇ φράσει *παρὰ φαῦλον*, κτλ. *ποιεῖσθαι*, *παρ' οὐδὲν ποιεῖσθαι* ἐγίνετο χρῆσις ὑπὸ τῶν Ἑλλήνων καὶ τῆς *παρὰ φαῦλον*, κτλ. *ἡγεῖσθαι*, *παρ' οὐδὲν ἡγεῖσθαι* καὶ τῆς *παρὰ φαῦλον*, κτλ. *τίθεσθαι*, *παρ' οὐδὲν τίθεσθαι*. Ἐρρήθη δὲ καὶ *πρὸ πλείστου τίθεσθαι* ὁμοίως

τῷ *πρὸ πολλοῦ ποιεῖσθαι*, ὡς ἐδηλώθη ἐν τοῖς ἔμπροσθεν, καὶ *περὶ ἐλάττονος τίθεσθαι* ὑπὸ τοῦ Λυσίου (ἢ τοῦ Ψευδολυσίου) κατ' Ἀνδοκ. 45 «Ἀνδοκίδης δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἀδικήσας περὶ ἐλάττονος αὐτοὺς ἔθετο — ἢ Βάτραχος τοὺς ἀνθρώπους» καὶ *περὶ παντὸς τίθεσθαι* ὑπὸ τοῦ Στράβωνος σελ. 302 «φιλίαν γε μὴν ἀνδρὸς τοιούτου περὶ παντὸς τίθεσθαι». Πρβ. καὶ σελ. 443 «ἀδόξων δ' ὄντων τῶν τόπων, οὐδ' ἡμῖν περὶ πολλοῦ θετέον». Παράδοξον ἡμῖν προσπίπτει τὸ φερόμενον ἐν τῷ Φιλοψευδεῖ τοῦ Λουκιανοῦ § 1 «οἳ αὐτὸ ἄνευ τῆς χρείας τὸ ψεῦδος *περὶ πολλοῦ τῆς ἀληθείας τίθενται*», ἔνθα τὸ *περὶ πολλοῦ* εἶνε τεθειμένον ἀντὶ τοῦ *περὶ πλείονος*, καθὰ παρετηρήθη καὶ ἐν τοῖς Σχολίοις σελ. 224 Ἰακ. Ὅμοιον τούτῳ ὑπάρχει τὸ παρὰ τῷ Θεμιστίῳ κείμενον «μηδὲν τοῦ κοινῇ λυσιτελοῦντος προὔργου ποιεῖσθαι», περὶ οὗ ἐγένετο ὑφ' ἡμῶν λόγος ἀλλαχοῦ (σελ. 189). Ὁ Ἰακώψιος ἀνέγνω ἐν τῷ χωρίῳ τοῦ Λουκιανοῦ «*πρὸ* πολλοῦ τῆς ἀληθείας τίθενται», ὃ ἐνέκρινε μὲν ὁ Βεκκῆρος, ἀπεδοκίμασε δ' ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 269 λέγων «In *Philopseude* 52, 1. τὸ ψεῦδος περὶ πολλοῦ τῆς ἀληθείας τίθενται, sine sensu. Bekker. πρὸ πολλοῦ quo nil proficimus, intelligerem περὶ πλείονος τῆς ἀληθείας». Ὁ Φρίσχιος ἐν τῇ ἐκδόσει τοῦ Λουκιανοῦ Τόμ. Α', β', σελ. 103 μνημονεύσας ὃ εἴκασε μὲν ὁ Ἰακώψιος ἀπεδέξατο δ' ὁ Βεκκῆρος, ἐπιφέρει «quod graece dictum esse nego negavitque Cobetus V. L. p. 269, qui ipse dubitanter scripsit, περὶ πλείονος τῆς ἀλ. τίθενται, justo ille quidem audacius sed attice, velut De Conscr. Hist. c. 39». Οὐδαμῶς δ' ὤκνησεν ὁ Φρίσχιος νὰ καταχωρίσῃ εἰς τὸ ἔδαφος ὡς γνησίαν γραφὴν τὸ ὑπ' αὐτοῦ ἐπινοηθὲν «οἳ αὐτὸ ἄνευ τῆς χρείας τὸ ψεῦδος *παρὰ πολὺ* τῆς ἀληθείας *ΠΡΟτίθενται*».

Τὰ ῥήματα *ποιεῖσθαι* καὶ *τίθεσθαι* βλέπει τις συνωνύμως ἐν τῇ αὐτῇ ῥήσει κείμενα παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 94 «ἡμεῖς τὰ μὲν πλείστου ἄξια ὑπὲρ ἐλαχίστου *ποιούμεθα*, ἀνοίας δὲ καὶ ἀμαθίας — καὶ τὴν ἐσχάτην δυσσέβειαν περὶ πλείονος *τιθέμεθα*» καὶ παρὰ Πολυβίῳ βιβλ. ϛ', νϛ', 3 «καθ' ὅσον γὰρ ἐν καλῷ *τίθενται* τὸν ἀπὸ τοῦ κρατίστου χρηματισμόν, κατὰ τοσοῦτο πάλιν ἐν ὀνείδει *ποιοῦνται* τὴν ἐκ τῶν ἀπειρημένων πλεονεξίαν». Τὸ *ἐν καλῷ τίθεσθαι* εὕρομεν καὶ παρὰ τῷ Στράβωνι σελ. 201 «τούς τε πατέρας τελευτήσαν-

τας κατεσθίειν ἐν καλῷ τιθέμενοι κτέ.». Περὶ τοῦ ἐν τῇ ῥήσει τοῦ Κλήμεντος φερομένου *ὑπὲρ ἐλαχίστου ποιούμεθα* γράφει ὁ Κόβητος ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 257: Οὔτε ὁ Κλήμης οὔτε τῶν Ἑλλήνων οὐδεὶς οὕτω λέγει «*ὑπὲρ* ἐλαχίστου ποιούμεθα» ἀλλὰ *πάντες* ἀεὶ «*περὶ* ἐλαχίστου» λέγουσιν.

Τοῖς ὑπὸ τοῦ Πολυβίου εἰρημένοις *ἐν ὀνείδει ποιοῦνται* καὶ *ἐν καλῷ τίθενται* πολλὰ ἔχει τις ὅμοια νὰ καταλέξῃ ἐκ τῆς Ἑλληνικῆς γλώσσης, οἷον *ἐν λόγῳ ποιεῖσθαι*, *ἐν μεγάλῳ ποιεῖσθαι*, *ἐν δευτέρῳ ποιεῖσθαι*, *ἐν ὀλιγωρίᾳ ποιεῖσθαι*, κτλ. καὶ *ἐν λόγῳ τίθεσθαι*, *ἐν μεγάλῳ τίθεσθαι*, *ἐν δευτέρῳ τίθεσθαι*, *ἐν ὀλιγωρίᾳ τίθεσθαι*, κτλ.

ἐν λόγῳ ποιεῖσθαι, *ἐν οὐδενὶ λόγῳ ποιεῖσθαι*. Ἡροδ. Α', 153 «τοὺς Ἴωνας ἐν οὐδενὶ λόγῳ ποιησάμενος» καὶ Γ', 50 «τοῦτο τὸ ἔπος ὁ μὲν πρεσβύτερος αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιήσατο» καὶ Ζ', 14 «τὰ ἐμὰ ἔπεα ἐν οὐδενὶ ποιεύμενος λόγῳ» καὶ 57 «τὸ Ξέρξης ἐν οὐδενὶ λόγῳ ἐποιήσατο». Ξενοφ. Ἑλλην. Ζ', α', 26 «τοὺς μὲν ἑαυτῶν λόγους ἐν οὐδενὶ λόγῳ ποιουμένους». Πλούτ. Νικ. ΙΓ', 7 «τοὺς ἐν λόγῳ ποιουμένους τινὶ τὰ τοιαῦτα δυσχεραίνειν» καὶ ΙΘ', 4 «ἐν μηδενὶ λόγῳ ποιεῖσθαι τὸν Γύλιππον» καὶ Γάλβ. ΙΗ', 4 «αὐτὸν δὲ τὸν Φλάκκον — ἐν οὐδενὶ λόγῳ τὸ παράπαν ἐποιοῦντο». Θεμίστ. Λόγ. σελ. 27 β' «τοῦ μὲν δήμου τὰς ὀργὰς καὶ τοὺς ἐπαίνους ἐν λόγῳ οὐδέποτε ἐποιήσατο» καὶ σελ. 111 γ' «ἐν οὐδενὶ λόγῳ ποιούμενος τὴν τοῦ στρατεύματος σωτηρίαν» καὶ σελ. 162 α' «οὐδεπώποτε ἐν λόγῳ τινὶ ἐποιήσω τὸν κληρονόμον τῆς ἀνωτάτω σοφίας». Ὑπὸ Δίωνος τοῦ Κασσίου ἐγένετο μὲν πολλάκις χρῆσις τοῦ *ἐν οὐδενὶ λόγῳ ποιεῖσθαι* ἢ *ποιήσασθαι*, ἐλέχθη δὲ καὶ «ἐξ ὧν οὔτε *ἐν μεγάλῳ* οὔτε *ἐν σμικρῷ λόγῳ* τὸν Λογγῖνον ποιεῖσθαι δόξειν ἔμελλε» (βιβλ. ΞΗ', ιβ', 2). Ἴδε καὶ Βυττεμβάχιον εἰς *Πλουτ. Ἠθικ.* Τόμ. ς', σελ. 119. Παρὰ τῷ Παυσανίᾳ βιβλ. Ι', ιη', 3 εἶνε γεγραμμένον «οἵ τε ἄλλοι *οὐδενὶ λόγῳ σφᾶς ἐνεποιοῦντο*» ἀντὶ τοῦ «οἵ τε ἄλλοι *ἐν οὐδενὶ λόγῳ σφᾶς ἐποιοῦντο*». Σημειωτέον δ' ὅτι ἀπαντᾷ παρ' Ἡροδότῳ καὶ «*ἐν ἀλογίῃ ποιεύμενον* τὸ τῶν Μήδων πλῆθος» (βιβλ. Ζ', 226), ὅπερ ὁμοίαν ἔννοιαν ἐμφαίνει τῷ *ἐν οὐδενὶ λόγῳ ποιεύμενον*. Καὶ τοῦτο δ' ἄξιον παρατηρήσεως ἡμῖν φαίνεται ὅτι εἶπε μὲν ὁ Ἡρόδοτος «τοῦτο τὸ ἔπος ὁ μὲν πρεσβύτερος αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιή-

σατο», εἶπε δὲ «τούτου τοῦ ἔπεος Λυδοί τε καὶ οἱ βασιλέες αὐτῶν λόγον οὐδένα ἐποιεῦντο» (βιβλ. Α', 13), ᾧ ἐμφερῆ καὶ ἄλλα παρ' αὐτῷ φέρονται, ἐξ ὧν μνημονεύομεν τὸ «Γέλης μὲν ἐπικρατέειν λόγον ἐλάσσω ἐποιέετο» (βιβλ. Ζ', 156). Εἶνε δὲ καὶ ὑπὸ τοῦ Πολυβίου εἰρημένον «οὐδένα λόγον ποιησάμενοι τῆς πρότερον ἀποφάσεως» (βιβλ. ΚΓ', ιζ', 1). Ἐγένετο δ' ὑπ' αὐτοῦ χρῆσις ἐν τῇ περὶ ἧς ὁ λόγος φράσει καὶ τοῦ ῥήματος *τίθεσθαι*, οἷον «οὐ μικρὸν λόγον θέμενος ὁ στρατηγὸς τοῦ μείζονος ἐποιήσατο πρόνοιαν» (βιβλ. ΙΑ', κγ', 8). Ἀείποτε δ' ὑπὸ τῶν παλαιῶν Ἑλλήνων ἐλέγετο κατὰ μέσον τύπον *οὐδένα λόγον τινὸς ποιεῖσθαι*. Παρὰ τῷ Θεοκρίτῳ ἀπαντᾷ οὐ μόνον «τὺ δέ μευ λόγον οὐδένα ποιῇ» (Εἰδ. Γ', 32) ἀλλὰ καὶ «ὁ δέ μευ λόγον οὐδένα ποιεῖ» (Εἰδ. Β', 61), ὅπερ ἀπᾴδει τῆς συνηθείας τοῦ γνησίου ἑλληνισμοῦ. Ἴδε καὶ Κόβητον ἐν *Nov. Lect.* σελ. 263.

ἐν μεγάλῳ ποιεῖσθαι. Θεμίστ. Λόγ. σελ. 201 β' «ἧς καὶ αὐτοὶ (οἱ) βασιλεῖς ἐν μεγάλῳ ποιοῦνται τὰ ἀναθήματα» καὶ σελ. 226 γ' «ἐπεὶ οὐδὲ Κροῖσόν ποτε Λυδὸν ἐν μεγάλῳ ἐποιησάμην» καὶ σελ. 327 α' «καίτοι ἐν μεγάλῳ τὴν ἀλήθειαν ποιουμένη».

ἐν δευτέρῳ ποιεῖσθαι. Λιβάν. Τόμ. Δ', σελ. 778 «ἣν ἄνδρες οἰκοῦσιν ἐν δευτέρῳ ποιούμενοι τέκνα πατρίδος». Πρβ. Πλούτ. Δημοσθέν. ΙΓ', 4 «τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος».

ἐν ὀλιγωρίᾳ ποιεῖσθαι. Θουκυδ. Δ', 5 «καὶ ἅμα πυνθανόμενοι ἐν ὀλιγωρίᾳ ἐποιοῦντο» καὶ Ζ', 3 «οἱ δὲ ἐν ὀλιγωρίᾳ τε ἐποιοῦντο καὶ οὐδὲν ἀποκρινάμενοι ἀπέπεμψαν». Δί. Κασσ. ΛϚ', με', 3 «τότε μὲν ἐν ὀλιγωρίᾳ αὐτὸν ἐποιήσατο» καὶ ΛΘ', κε', 3 «αὐτόν τε ἐν ὀλιγωρίᾳ ἐποιεῖτο καὶ τὸν Καίσαρα ὑπερεσπούδαζε». Καὶ ἐν ἄλλοις δὲ τόποις ἐγένετο ὑπὸ Δίωνος τοῦ Κασσίου χρῆσις τῆς περὶ ἧς ὁ λόγος φράσεως.

ἐν ἴσῳ ποιεῖσθαι. Λιβάν. Ἐπιστολ. 451, σελ. 227 «ἃς ἐν ἴσῳ ποιοῦμαι τῇ πατρίδι». Πρβ. καὶ Ἡρόδ. Ζ', 138 «οὐκ *ἐν ὁμοίῳ* πάντες *ἐποιεῦντο*» καὶ Η', 109 (Ἴδε Βαίριον εἰς *Ἡρόδ.* Τόμ. Γ', σελ. 645 καὶ Τόμ. Δ', σελ. 162 καὶ 286 ἐκδ. β').

ἐν σμικρῷ ποιεῖσθαι. Σοφοκλ. Φιλοκτ. 498 «τοὐμὸν ἐν σμικρῷ μέρος ποιούμενος». Ὑπάρχει καὶ γραφὴ *ἐν σμικρῷ μέρει*, ἣν ἐνέκρι-

νάν τινες. Ἴδε Βλαϋδέσιον εἰς *Σοφοκλ. Φιλ.* σελ. 111 καὶ Ἐλλένδετον ἐν *Λεξ. Σοφοκλ.* σελ. 437 ἐκδ. β'.

ἐν οὐδενὶ ποιεῖσθαι. Προκόπ. Τόμ. Α', σελ. 231, 7 «οἱ δὲ ξὺν τῷ Πέτρῳ ἐν οὐδενὶ τὰς ἐντολὰς ποιησάμενοι κτέ.». Πρβ. Παυσαν. Ι', κη', 4 «χρυσὸν μὲν καὶ ἄργυρον *ἐν οὐδενὸς μερίδι* ἐποιήσαντο». Τὸ ἐναντίον τοῦ *ἐν οὐδενὶ ποιεῖσθαι* εἶνε *ἐν παντὶ ποιεῖσθαι*, οὗ φέρομεν μαρτύριον τὸ Δίωνος τοῦ Κασσίου βιβλ. ΜΖ', κδ', 4 «πρότερον μὲν ἐν παντὶ τὴν σωτηρίαν αὐτοῦ ἐποιεῖτο, ὕστερον δὲ — παρ' οὐδὲν αὐτὴν ἤγαγεν». Ὁ Ἑρουερδὴν νομίζει ἐν τῇ Μνημοσύνῃ 1881, σελ. 106 ὅτι ἐγράφη ὑπὸ τοῦ Προκοπίου «ἐν οὐδενὶ ΛΟΓΩ τὰς ἐντολὰς ποιησάμενοι». Πρβ. Ἐπιστολογρ. Ἑρχ. σελ. 534, 18 «ὡς ἀδικοίην οὐ μετρίως *ἐν οὐδενὶ* φίλον ποιούμενος» καὶ σελ. 545, 18 «τὰς πατρίους πανηγύρεις *ἐν οὐδενὶ ΛΟΓΩ ποιῇ*».

ἐν ἐλαφρῷ ποιεῖσθαι. Ἡρόδ. Α', 118 «θυγατρὶ τῇ ἐμῇ διαβεβλημένος οὐκ ἐν ἐλαφρῷ ἐποιεύμην» καὶ Γ', 154 «ἐνθαῦτα ἐν ἐλαφρῷ ποιησάμενος ἑωυτὸν λωβᾶται λώβην ἀνήκεστον». Διον. Ἁλικαρν. Ῥωμ. Ἀρχ. σελ. 2120 «τὸ κινδύνευμα ἐν ἐλαφρῷ ἐποιοῦντο». Δί. Κάσσ. ΛΘ', κϛ', 1 «οὐκ ἐν ἐλαφρῷ τὸ πρᾶγμα ἐποιήσατο» καὶ ΜΑ', θ', 1 «ἐν ἐλαφρῷ τὸ πρᾶγμα ποιουμένου» καὶ ΝΗ', δ', 1 «οὔτε ἐν ἐλαφρῷ τὸ πρᾶγμα ἐποιήσατο — οὔτε ἠμέλησεν». Ἴδε Βαλκενάριον εἰς *Ἡρόδ.* σελ. 417 Γαισφ. καὶ Βαίριον εἰς *Ἡρόδ.* Τόμ. Α', σελ. 251 ἐκδ. β'. Σημειωτέον δ' ὅτι ὁ Βέργκιος ἐν τῇ Δ' ἐκδόσει τῶν Λυρικῶν Ποιητῶν Τόμ. Β', σελ. 129 ἐκδέχεται τὸ τοῦ Ἀρχιλόχου «ἐν τῷ κάθημαι σὴν *ἐλαφρίζων* μάχην» ἐπὶ τῆς ἐννοίας τοῦ *ἐν ἐλαφρῷ ποιούμενος*.

ἐν κέρδει ποιεῖσθαι. Ἡρόδ. Β', 121, 4 «τὸν ἐκκεχυμένον οἶνον συγκομίζειν ἐν κέρδεϊ ποιευμένους» καὶ Ϛ', 13 «ἐν κέρδεϊ ἐποιεῦντο περιποιῆσαι τά τε ἱερὰ τὰ σφέτερα καὶ τὰ ἴδια». Λιβάν. Ἐπιστ. 582, σελ. 281 «τοῦτον εὕροις ἂν ἐν κέρδει ποιούμενον Ἰουλιανῷ συζῆν». Πρβ καὶ Γεβαυῆρον εἰς *Λυσ.* Τόμ. Α', σελ. 472.

ἐν παρέργῳ ποιεῖσθαι. Ἡλιόδ. Αἰθιοπ. Θ', 25 «ἐν παρέργῳ τότε τὸ ὀφθὲν ποιησάμενος».

ἐν λόγῳ τίθεσθαι, ἐν οὐδενὶ λόγῳ τίθεσθαι. Τυρτ. ΙΒ', 1 Βεργκ. «οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην». Ἀρριαν. Ἀναβ. Α', ϛ', 3 «οὐκ ἔφη χρῆναι ἐν λόγῳ τίθεσθαι Αὐταριάτας». Μαρκ.

Ἀντων. Γ', 4 «οὐδὲ τὸν παρὰ τὸν τοιούτων ἔπαινον ἐν λόγῳ τίθεται». Δί. Κάσσ. ΛϚ', κϛ', 1 «ἅπερ ἡμεῖς μὲν ἐν οὐδενὶ λόγῳ τίθεσθε» καὶ ΟΗ', κ', 4 «ἐν οὐδενὶ λόγῳ τὰ ἐπὶ θεραπείᾳ σφῶν πραχθέντα θέμενοι». Θεμίστ. Λόγ. σελ. 175 δ' «ἐν μὲν στρατηγῶν ἐξετάσει τὸν Φιλίππου ἂν θείμην ἐν λόγῳ». Ῥοῦφ. Ἐφέσ. σελ. 211, 5 Δαρ. «ἐν οὐδενὶ δὲ λόγῳ θέμενον τὸ ἕλκος». Πλούτ. Ἠθικ. σελ. 1100 γ' «τὴν Νεοκλέους μαρτυρίαν — ἐν τοσούτῳ λόγῳ τιθέμενος καὶ ἀγαπῶν» καὶ Φωκ. ΚΑ', 3 «τὴν ἐκείνου σωτηρίαν ἔν τινι λόγῳ τιθέμενον» καὶ Ἀράτ. ΛΗ', 5 «τοὺς ἔν τινι λόγῳ τὴν Ἑλληνικὴν τιθεμένους εὐγένειαν» καὶ Πύρρ. Η', 3 «τὰς δ' ἄλλας γλαφυρίας ἐν οὐδενὶ λόγῳ τίθεσθαι». Πρβ. καὶ Μάρκελλ. Ϛ', 4 καὶ Λούκουλλ. Γ', 6 καὶ Πομπ. ΜΑ', 1 καὶ Βροῦτ. ΜΕ', 4 (Ἴδε καὶ Βαίριον εἰς *Πλουτ. Φλαμιν.* σελ. 123). Ἐν τῷ Ἀνθολογίῳ τοῦ Στοβαίου ΝΑ', 1 εἶνε ἡ ῥῆσις τοῦ Τυρταίου ὧδε γεγραμμένη· «οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα *τιθείην*». Ἡ δὲ γνησία γραφὴ *τιθείμην* ἐσώθη παρὰ τῷ Πλάτωνι Νόμ. σελ. 629 α' καὶ σελ. 660 ε' (Ἴδε καὶ Βαλκενάριον εἰς *Ἡρόδ.* σελ. 275 Γαισφ. καὶ εἰς *Καιν. Διαθ.* Τόμ. Α', σελ. 575). Ἐν τοῖς Φωκικοῖς τοῦ Παυσανίου κεφ. ΛΑ', 11 φέρεται «τῶν τὰ δρώμενα Ἐλευσῖνι ἐν *οὐδενὸς* θεμένων λόγῳ». Ὑπάρχει δὲ καὶ γραφὴ *οὐδενί*. Πρβ. Ἡρόδ. Γ', 125 «*ἐν ἀνδραπόδων λόγῳ* ποιεύμενος» καὶ Ζ', 222 «*ἐν ὁμήρων λόγῳ* ποιεύμενος» καὶ Πλούτ. Μαρ. Μ', 4 «τήν τε τῆς πόλεως ἐκείνης τύχην καὶ τὴν ἑαυτοῦ μεταβολὴν *ἐν παραδείγματος λόγῳ* θέμενος». Ἐν τοῖς Αἰθιοπικοῖς τοῦ Ἡλιοδώρου βιβλ. Ε', 22 εὕρομεν «σὺ δὴ μόνος *ἐν οὐδενὸς λόγου μέρει* τέθεισαι τὰ καθ' ἡμᾶς».

ἐν οὐδεμιᾷ ψήφῳ τίθεσθαι. Φρύνιχ. ἐν Βεκκ. Ἀνεκδ. σελ. 54, 5 «Οὐδαμοῦ λέγω τοῦτον: ἀντὶ τοῦ ἐν οὐδεμιᾷ ψήφῳ τίθεμαι, οὐδενὸς ἄξιον ἡγοῦμαι». Ὁ Σοφοκλῆς εἶπεν ἐν τῇ Ἀντιγόνῃ στίχ. 183 «καὶ μείζον' (μεῖζον) ὅστις ἀντὶ τῆς αὐτοῦ πάτρας φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω».

ἐν μεγάλῳ τίθεσθαι. Αἰλιαν. περὶ Ζῴ. ΙϚ', 11 «ἐν μεγάλῳ τίθενται ταύτας ἔχειν Ἰνδῶν αἱ γυναῖκες». Στράβ. σελ. 8 «ἐν μεγάλῳ γὰρ τίθενται τὸ πολλῶν ἀνθρώπων ἰδεῖν ἄστεα». Ἐν ταῖς Ἱστορίαις τοῦ Πολυβίου κεῖται βιβλ. Γ', Ϟζ', 4 «ἐν μεγάλῳ τιθέμενοι καὶ τοῦτον τὸν πόλεμον» καὶ βιβλ. Ϛ', θ', 5 «οὐκέτι διὰ τὸ σύνηθες ἐν

μεγάλῳ τιθέμενοι τὸ τῆς ἰσηγορίας καὶ παρρησίας» καὶ βιβλ. ΛΘ', ι', 6 «τὴν αὐτῶν ἀσφάλειαν ἐν πλείστῳ τιθέμενοι» καὶ βιβλ. Θ', ιγ', 8 «οὐδὲ τὸν τόπον τῆς πράξεως ἐν μικρῷ θετέον» καὶ βιβλ. Δ', ς', 12 «ἅπαντα δ' ἐν ἐλάττονι θέμενοι τῆς σφετέρας πλεονεξίας ἀδεῶς ἐπόρθουν» καὶ βιβλ. Ε', οα', 4 «πάντ' ἐν ἐλάττονι θέμενος ὥρμησε». Πρβ. καὶ Συλλ. Ἐπιγρ. Ἑλλην. Βοικχ. 1625,23 (Τόμ. Α', σελ. 788) «ἐν ἐλάσσονι θέμενος τὰ ἑαυτοῦ».

ἐν δευτέρῳ τίθεσθαι. Πλούτ. Φαβ. ΚΔ', 2 «ἐν δευτέρῳ καὶ γονεῖς καὶ παῖδας ἀεὶ τῶν τῆς πατρίδος καλῶν τιθέμενοι». Λέγει δ' ὁ Πλούταρχος καὶ *ἐν ὑστέρῳ τίθεσθαι* Πελοπ. ΚΘ', 3 «τὴν αὑτοῦ δόξαν ἐν ὑστέρῳ τῆς Πελοπίδου σωτηρίας τιθέμενος» καὶ Ἀριστείδ. ϛ', 4 «τὴν δ' ἀρετὴν — ἐν ὑστέρῳ τίθενται» καὶ Κίμ. Iϛ', 8 «τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρῳ θέμενον τοῦ Λακεδαιμονίων συμφέροντος» καὶ Μαρ. ΚΓ', 5 «τὴν αὑτοῦ δόξαν ἐν ὑστέρῳ τῶν πολιτῶν τιθέμενον». Ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις σελ. 438, 7 φέρεται «ὅτι τὸ αὑτοῦ ἀσφαλὲς ἐν *ἑτέρῳ* ἔθετο», μετετύπωσε δ' αὐτὸ ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1879, σελ. 110 εἰς τὸ «ἐν *ὙΣτέρῳ* ἔθετο». Κατ' ἐνεργητικὴν φωνὴν εἶπε Φίλων ὁ Ἰουδαῖος Τόμ. Δ', σελ. 194 «τὰ περὶ τὰς προστάξεις καὶ ἀπαγορεύσεις *ἐν δευτέρῳ θείς*».

ἐν δευτέρῳ λόγῳ τίθεσθαι. Νικηφ. Γρηγ. Τόμ. Γ', σελ. 540, 1 «τἆλλα τῶν ἐγκλημάτων ἅπαντα ἐν δευτέρῳ θέμενος λόγῳ».

ἐν δευτέρᾳ μοίρᾳ τίθεσθαι. Σέξτ. Ἐμπειρ. σελ. 558, 8 «ὁ μὲν Κράντωρ τὴν ὑγείαν ἐν δευτέρᾳ μοίρᾳ ἐτίθετο». Πρβ. Χορίκ. σελ. 209 Βοισ. «θυγάτριον — ἐν ἐλάττονι μοίρᾳ τῆς πατρίδος ἐθέμην». Ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως ἐλέχθη Ῥωμ. Ἀρχ. σελ. 2152 «βουλὴν μὲν ἢ δῆμον *ἐν οὐδεμιᾷ* ΜΕΡΙΔΙ τιθέμενοι».

ἐν ὀλιγωρίᾳ τίθεσθαι. Δί. Κάσσ. Τόμ. Α', σελ. 35, κε', 2 Διν8. «τοὺς Κλουσίνους ἐν ὀλιγωρίᾳ θέμενοι πρὸς τὴν Ῥώμην ὥρμησαν». Πρβ. καὶ Αἰλιαν. Ἀποσπ. 106 «ἀνδρὶ ἐπιόρκῳ καὶ τὰ θεῖα *ἐν μηδεμιᾷ ὥρᾳ τιθεμένῳ*» καὶ Ἡλιόδ. Αἰθιοπ. Θ', 25 «τὸ ὄναρ *ἐν οὐδεμιᾷ φροντίδι τιθέμενος*».

ἐν ἴσῳ τίθεσθαι. Δί. Κάσσ. Τόμ. Α', σελ. 57, μ', 2 «ἐν τῷ ἴσῳ τό τε ὑφ' ἑαυτοῦ καὶ τὸ δι' ἑτέρου τινὸς — εὖ τι τὴν πόλιν παθεῖν ἐτίθετο»,

ἐν οὐδενὶ τίθεσθαι. Ῥοῖφ. Ἐφέσ. σελ. 205, 12 «ὁ δὲ ἐν οὐδενὶ

θέμενος τὸ ἐνύπνιον ἤγαγεν αὐτὸν πρὸς τοὺς πόνους». Β' Μακκαβ. Ζ', 12 «ἐν οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο». Εὐστάθ. σελ. 1462, 48 «ὡς οἷον ἐν οὐδενὶ τιθέμενοι τὸν Διόνυσον».

ἐν τιμῇ τίθεσθαι. Ἡρόδ. Γ', 3 «τοιῶνδε μέντοι ἐμὲ παίδων μητέρα ἐοῦσαν Κῦρος ἐν ἀτιμίῃ ἔχει, τὴν δ' ἀπ' Αἰγύπτου ἐπίκτητον ἐν τιμῇ τίθεται». Στράβ. σελ. 734 «τὸ πυρωπὸν τιθεμένων ἐν τιμῇ». Πρβ. καὶ Ἀππιαν. Ἰβηρ. 54 «οὐδ' *ἐν δόξῃ* ταῦτ' ἐκεῖνοι Κελτιβήρων *τίθενται*». Ἴδε καὶ Σχοιμαννὸν εἰς *Πλουτ. Ἀγ.* σελ. 150.

ἐν εὐχερεῖ τίθεσθαι. Σοφοκλ. Φιλοκτ. 875 «ταῦτα πάντ' ἐν εὐχερεῖ ἔθου». Πρβ. Βλαϋδέσιον εἰς *Σοφοκλ. Φιλοκτ.* σελ. 190.

ἐν αἰσχρῷ τίθεσθαι. Εὐριπ. Ἑκ. 806 «ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος αἰδέσθητί με». Πλούτ. Ἀγησ. καὶ Πομπ. Συγκρ. Δ', 3 «ἐν αἰσχρῷ τίθεσθαι τὴν ἐν Θετταλίᾳ πρὸ μάχης διατριβήν». Ὁ Βαλκενάριος γράφει ἐν τῇ Διατριβῇ σελ. 9 «*Aliquid* sive *aliquem* ἐν τιμῇ τίθεσθαι, vel ἐν αἰσχρῷ, sunt *Euripideae* phrases ; aliorum, τίθεσθαι ἐν γενναίοις· ἐν φιλοσόφοις· ἐν οὐδενί· ἐν λόγῳ πολλῷ· ἐν μεγάλῳ· *in magno habere*, *Sueton.* Caes. c. 23. *Casaub. in gloria ponebant*, *Livii* XXVI, c. 37. *Thomas Mag.* Ἐν σπανίοις ἐτίθει, κάλλιον, ἢ σπάνιον ἡγεῖτο». Σημειωτέον δ' ὅτι ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως ἐλέχθη «τὰ παρ' ἑτέροις εἰρημένα λαμβάνοντες ὀλίγου δεῖν πάντες οὐκ *ἐν αἰσχύνῃ τίθενται* τὸ ἔργον» (περὶ Λυσ. ΙΖ') καὶ ὑπὸ τοῦ Λουκιανοῦ «οὐ γὰρ ἂν τὰ κάλλιστα τῶν ἐθῶν *ἐν ψόγῳ ἐτίθεσο*» (Ἀναχάρσ. 14).

ἐν παρέργῳ τίθεσθαι. Λουκιαν. Σκύθ. 6 «μὴ δυσπρόσοδος ᾖ καὶ ἐν παρέργῳ θῆταί σου τὴν ἔντευξιν τὴν ὑπὲρ ἡμῶν» καὶ Ἀπολ. 15 καὶ Ζεύξ. 7 καὶ Ἡροδ. 8 καὶ περὶ τῶν ἐπὶ μισθ. συν. 22. Πρβ. καὶ Σοφοκλ. Φιλοκτ. 473. Ἐλέχθη καὶ *ἐν παρέργου τίθεσθαι χώρᾳ* ὑπὸ τοῦ Ἀριστοξένου παρ' Ἀθην. σελ. 545 γ' «τὰ δ' ἄλλα πάντα σχεδὸν ἁπλῶς εἰπεῖν ἐν παρέργου τίθεσθαι χώρᾳ». Ἡ παραδεδομένη γραφὴ εἶνε «ἐν *παρέργΩ* τίθεσθαι χώρᾳ». Ὁ Μεινέκιος ἀποφαίνεται ἐν τῇ ἐκδόσει τοῦ Ἀθηναίου Τόμ. Δ', σελ. 249 ὅτι ἀναγκαίως ἔχει ἢ νὰ ἐκβληθῇ τὸ *χώρᾳ* ἢ νὰ γραφῇ *ἐν παρέργΩΝ τίθεσθαι χώρᾳ*». Ἀποκαθίσταται ἡ ὑγιὴς ἐκφορά, ἂν τὸ *παρέργΩ* μετατυπωθῇ εἰς τὸ *παρέργΟΥ*, ὡς ἐγένετο ὑπὸ τοῦ Καιβελίου.

Ἐν τῇ Ἰουδαϊκῇ Ἀρχαιολογίᾳ τοῦ Ἰωσήπου φέρεται Τόμ. Δ', σελ. 112, 3 Νισ. «οὐ μὴν οἱ φύλακες *ἐν ὀλίγῳ* τὰς Ἀρχελάου ἐπιστολὰς *ἐποιοῦντο*» καὶ σελ. 118, 17 «ἀνδρῶν *ἐν ὀλίγῳ* τὸ θανεῖν *ποιουμένων*» καὶ σελ. 199, 18 «*ἐν ἐλάσσονι* τὴν καθ' αὑτὸν ὀργὴν τῆς ὑμετέρας ἀρετῆς *ποιησάμενος*» καὶ σελ. 144, 9 «θανάτων τε ἰδέας ὑπομένειν παρηλλαγμένας *ἐν ὀλίγῳ τίθενται*» καὶ σελ. 155, 23 «ἀνὴρ *ἐν ὀλίγῳ* τὸ ψεῦδος *τιθέμενος*» καὶ σελ. 177, 3 «ὅπως — *ἐν ὀλίγῳ* τὴν ἀχθηδόνα τοῦ παρόντος *τιθοῖο* (τίθοιο)» καὶ σελ. 248, 11 «τὴν μὲν Γαΐου τιμωρίαν *ἐν ὀλίγῳ τιθέμενοι* κτέ.». Πρβ. καὶ σελ. 72, 21 «*ἐν δεινῷ τιθέμενος* προσλήψει τοσῇσδε αὐτοὺς ὁμιλῆσαι δυνάμεως» καὶ σελ. 243, 10 «Χαιρέας δὲ *ἐν δεινῷ τιθέμενος* περιεῖναι τὴν θυγατέρα Γαΐου καὶ τὴν γυναῖκα». Ὁ Ναβῆρος ἐν τῇ Μνημοσύνῃ 1885, σελ. 383 νομίζει ὅτι ἐγράφη ὑπὸ τοῦ Ἰωσήπου «ἀνὴρ ἐν ὀλίγῳ ΛΟΓΩ τὸ ψεῦδος τιθέμενος».

Ὁ Ἀριστείδης ἐποιήσατο χρῆσιν τοῦ *ἐν φαύλῳ τίθεσθαι* Τόμ. Β', σελ. 267 «εἰ — τότ' αὐτοὶ τοῖς βαρβάροις ὑπέκυψαν ἐν φαύλῳ θέμενοι». Εἶνε δ' ὑπ' αὐτοῦ εἰρημένον καὶ κατ' ἐνεργητικὴν φωνὴν *ἐν οὐδενὶ τιθέναι* καὶ *ἐν λόγῳ τιθέναι*, οἷον Τόμ. Α', σελ. 645 «ἐν οὐδενὶ θέντες εἰσβολὰς μὲν ἐτησίους κτέ.» καὶ Τόμ. Β', σελ. 434 «ἐκεῖνος τοὺς μὲν τῆς τραγῳδίας ποιητὰς οὐδ' ἐν λόγῳ τίθησιν». Πρβ. καὶ Τόμ. Β', σελ. 327 «ἃ δ' εὖ φρονοῦντες ἔπραττον ἐν οὐδενὸς μοίρᾳ *θήσομεν*, κτέ.;» (Ἴδε καὶ Βιγῆρον ἐν τῷ *περὶ Ἰδιωτ.* σελ. 296 ἐκδ. δ').

Τὴν ἐν τῇ αὐτῇ ῥήσει χρῆσιν τῶν ῥημάτων *ποιεῖσθαι* καὶ *τίθεσθαι*, ἧς παραδείγματα ἐμνημονεύσαμεν ἐκ τοῦ Πολυβίου καὶ Κλήμεντος τοῦ Ἀλεξανδρέως, βλέπει τις καὶ ἐν ταῖς Ἐπιστολαῖς τοῦ Λιβανίου σελ. 238 (Ἐπιστ. 474) «ἐπιτιμώντων δὲ ἐνίων αὐτῷ τὸ τὸν οὐ διδάσκαλον πρὸ τοῦ διδασκάλου *ποιεῖσθαι*, τὸ δὲ τὸν φαυλότερον, ἔφη, πρὸ τοῦ βελτίονος *τίθεσθαι* τῶν καλῶν ὑμῖν εἶναι δοκεῖ;».

Σημειωτέον δ' ὅτι εὑρίσκονται καὶ τῇ *πρός* προθέσει μετὰ γενικῆς πτώσεως τὰ ῥήματα *ποιεῖσθαι* καὶ *τίθεσθαι* συντεταγμένα, οἷον *πρὸς ὀνείδους ποιεῖσθαι* παρὰ τῷ Λιβανίῳ καὶ τῷ Κυρίλλῳ, ὡς διδάσκεταί τις καὶ ἐκ τοῦ Θησαυροῦ τοῦ Στεφάνου (Τόμ. Ϛ', σελ. 1834 Διδ.), καὶ *πρὸς οἰωνοῦ τίθεσθαι* παρὰ τῷ Ἀθηναίῳ (σελ. 13 δ').

Πρβ. καὶ Σουίδ. «Πρὸς οἰωνοῦ δεξιοῦ τιθέμενος ἐν πολεμίῳ χάρακι σταθμεῦσαι». Ἐγένετο δὲ χρῆσις καὶ τοῦ *πρὸς οἰωνοῦ λαμβάνειν* (Διον. Ἁλικ. Ῥωμ. Ἀρχ. σελ. 444. Σουίδ. σελ. 1034 α' Βεκκ.) καὶ *δι' οἰωνοῦ λαμβάνειν* (Διον. Ἁλικ. Ῥωμ. Ἀρχ. σελ. 379). Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους κεῖται βιβλ. ϛ', 133 «ὃς τὸν ἀπὸ τῶν αἰσχίστων πόρον *πρὸς εὐπρεπείας δοκεῖ*».

Εἴδομεν ἐν τοῖς ἔμπροσθεν (σελ. 220) ὅτι πρὸς ταῖς φράσεσι *παρ' οὐδὲν ποιεῖσθαι* καὶ *παρ' οὐδὲν ἡγεῖσθαι* καὶ *παρ' οὐδὲν τίθεσθαι* φέρεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ ἡ *παρ' οὐδὲν ἄγειν*. Παρατηροῦμεν δὲ νῦν ὅτι λέγεται καὶ *περὶ πλείστου ἄγειν*, *περὶ πλείονος ἄγειν*, *ἄγειν ἐν τιμῇ*, κτλ.

περὶ πλείστου ἄγειν, *περὶ πλείονος ἄγειν*. Ἡρόδ. Θ', 7 «περὶ πλείστου δ' ἦγον τὰ τοῦ θεοῦ πορσύνειν». Ἀριστείδ. Τόμ. Β', σελ. 668 «τὴν οὐδὲν ἔχουσαν κέρδος λειτουργίαν περὶ πλείονος ἄγειν τῆς θαυμαστῆς αὐτῶν ὑπὲρ ὑμῶν προαιρέσεως». Ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1879, σελ. 183 μετέβαλε τὸ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ βιβλ. Α', οθ', 2 «περὶ πλείστου πᾶς τις *Ἕξει* τὸ μὴ καταντᾶν ἐπὶ τὸν ὅρκον» εἰς τὸ «πᾶς τις *Ἄξει*». Ὁμοίαν μεταβολὴν ἐποιήσατο ὁ Κιρχόφιος ἐν ταῖς Ἱκέτισι τοῦ Εὐριπίδου στίχ. 164, ἔνθα ἀντὶ τοῦ «ἐν μὲν αἰσχύναις *ἔχω* πίτνων πρὸς οὖδας» ἀνέγνω «ἐν μὲν αἰσχύναις *ἄγω* κτέ.».

ἄγειν ἐν τιμῇ. Πλάτ. Πολιτ. σελ. 538 ε' «ἃ μάλιστα ἦγεν ἐν τιμῇ». Λουκιαν. Μεν. ἢ Νεκυομ. 13 «ἄγουσι δ' αὐτὸν ἐν τιμῇ». Πλούτ. Βρούτ. Κϛ', 4 «χρόνον μὲν οὖν πολὺν ἐν τιμῇ τὸν Γάϊον ἦγε» καὶ Μαρ. Μ', 5 «ἐν τιμῇ μὲν ἦγε τοὺς περὶ τὸν νέον Μάριον». (Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Ζ', σελ. 2196 Διδ.). Ἐρρήθη δὲ καὶ κατὰ μέσην φωνὴν *ἐν τιμῇ τινα ἄγεσθαι* ὑπὸ τοῦ Ἡροδότου βιβλ. Α', 134 «ἥκιστα δὲ τοὺς ἑωυτῶν ἑκαστάτω οἰκημένους ἐν τιμῇ ἄγονται» καὶ βιβλ. Β', 83 «τό γε μάλιστα ἐν τιμῇ ἄγονται πάντων τῶν μαντηΐων». Ἐπὶ παθητικῆς διαθέσεως εἶπεν ὁ Στράβων σελ. 292 «καὶ τῷ θριάμβῳ παρῆν τῶν φιλτάτων *ἐν τιμῇ ἀγόμενος*» καὶ σελ. 715 «ὡς γυμνοὶ διατελοῖεν καὶ καρτερίας ἐπιμελοῖντο οἱ ἄνθρωποι *ἐν τιμῇ τε ἄγοιντο πλείστῃ*».

ἐν μοίρᾳ μεγάλῃ ἄγειν. Ἡρόδ. Β', 172 «κατώνοντο τὸν Ἄμα-

σιν Αἰγύπτιοι καὶ ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον». Πρβ. καὶ Ἐλμσλήϊον εἰς *Σοφοκλ. Οἰδ. Κολ.* σελ. 121.

ἐν ἀτίμῳ χώρᾳ ἄγειν. Ἀρριαν. Ἀναβ. Ζ', ς', 5 «τὰ δὲ Μακεδονικὰ νόμιμα — ἐν ἀτίμῳ χώρᾳ ἄγοντος». Ἴδε καὶ Ἐλλένδετον εἰς *Ἀρριαν. Ἀναβ.* Τόμ. Β', σελ. 376.

ἐν μοίρᾳ τινὸς ἄγειν. Ἀριστείδ. Τόμ. Α', σελ. 824 «ἐν πατρίδος μοίρᾳ τὴν πόλιν ὑμῶν ἄγων».

Ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις φέρεται Τόμ. Δ', σελ. 64, 17 Δινδ. «Ἄγειν γὰρ τὸ τιμῆσαί φησιν ἐν πρώτοις ἐγώ· καὶ ἡγόμην δ' ἀνὴρ μέγιστος τῶν ἐκεῖ». Τὸ *ἐν πρώτοις ἐγὼ* μετετυπώθη μὲν εἰς τὸ *ἐν πρώτοις ἄγω* ἢ *ἐν πρώτοις σ' ἄγω*, ὑπελήφθη δὲ τραγικοῦ ποιητοῦ ἀποσπασμάτιον. Ἴδε τὴν ὑπὸ Ναυκίου φιλοπονηθεῖσαν συναγωγὴν τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν σελ. 925, 445 ἐκδ. β'. Πρβ. καὶ Βλαϋδέσιον εἰς Σοφοκλ. Τόμ. Α', σελ. 110. Τοῦ *ἄγειν* γίνεται ἐξήγησις διὰ τοῦ *τιμᾶν* καὶ ἐν τοῖς Ἀνεκδότοις τοῦ Βεκκήρου σελ. 335, 25. Ἴδε καὶ Ἀβρέσχιον ἐν *Παρατηρήσ. εἰς Αἰσχύλ.* Βιβλ. Γ', σελ. 203.

Ὁ Ἁρποκρατίων γράφει σελ. 4, 8 «Ἀντιφῶν δ' ἐν τῷ περὶ ἀληθείας φησί· *τοὺς νόμους μεγάλους ἄγοι·* ἀντὶ τοῦ *ἡγοῖτο*. Τούτου πολλὴ χρῆσις». Πρβ. καὶ Βεκκ. Ἀν. σελ. 330, 2. Ἴδε Βουρέσχιον ἐν *Leipz. Stud.* Τόμ. Θ', σελ. 89.

Καὶ ἄλλα δ' ἔχομεν παραδείγματα τῆς ἐκφορᾶς, καθ' ἣν τὸ ῥῆμα *ἄγειν* εἶνε δυσὶν αἰτιατικαῖς συντεταγμένον, ὧν ἡ ἑτέρα κεῖται δίκην κατηγορουμένου, οἷον

Εὐριπ. Βάκχ. 1036 «Θήβας δ' ἀνάνδρους ὧδ' ἄγεις;».

Κρατῖν. Ἀποσπ. 112 Κοκκ. «Ψύρα τε τὴν Σπάρτην ἄγεις» καὶ 352 «Ψύρα τὸν Διόνυσον ἄγοντες» (Ἴδε Ἑμστερρούσιον εἰς *Ἁρποκρ.* Τόμ. Β', σελ. 7 Δινδ.). Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1462, 48 «Ψύρα τὸν Διόνυσον ἄγοντες, ἤγουν ὡς οἷον ἐν οὐδενὶ τιθέμενοι τὸν Διόνυσον».

Ἀνθολ. Παλατ. Ζ', 407, 9 «σὰς γὰρ ἀοιδὰς ἀθανάτων ἄγομεν νῦν ἔτι θυγατέρας». Ἴδε Φ. Γ. Σμιδίτιον ἐν *Krit. Stud.* Τόμ. Γ', σελ. 30.

Ἡρόδ. Ζ', 150 «οὐδαμοὺς μέζονας ὑμέων ἄξω». Ἴδε Βαλκενάριον εἰς *Ἡρόδ.* σελ. 868 Γαισφ.

Θουκυδ. Η', 81, 2 «ἵνα — οἱ ἐν τῇ Σάμῳ τιμιώτερόν τε αὐτὸν (αὐτὸν) ἄγοιεν καὶ αὐτοὶ ἐπὶ πλεῖον θαρσοῖεν». Σώπατρ. ἐν Ῥητ. Οὐαλζ. Τόμ. Η', σελ. 74, 20 «ἐπῄνει δὲ τὸν ὑπηρετήσαντα τῷ βουλήματι καὶ τίμιον ἦγε πολὺ μᾶλλον ἢ πρότερον». Παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Ῥωμ. Ἀρχ. σελ. 1993 ἔχουσι τἀντίγραφα «οἱ μὲν οὖν πατρίκιοι τίμιον αὐτὸν ἐπὶ τούτοις *εἶχον*», μετετύπωσε δ' αὐτὸ εἰς τὸ *ἦγον* ὁ Κόβητος ἐν *Παρατηρ. εἰς Διον. Ἁλικ.* σελ. 187. Μετέβαλε δὲ καὶ ὁ Ἑρουερδὴν ἐν *Μνημοσ.* 1879, σελ. 369 τὸ ἐν τῷ Τοξάριδι τοῦ Λουκιανοῦ § 12 «ὁ Δεινίας; οὐδὲν αὐτὸν ἐντιμότερον *εἶχε* τῶν κολάκων» εἰς τὸ *ἦγε*. Ἀλλὰ καὶ ἐν τῇ ὑπὸ τοῦ Γ. Δινδορφίου γενομένῃ ἐκδόσει τοῦ Λουκιανοῦ Τόμ. Β', σελ. 230 κεῖται «ἐντιμότερον *ἦγε* τῶν κολάκων». Ἄξια παραθέσεως νομίζομεν τὰ ὑπὸ τοῦ Λοβεκκίου γεγραμμένα ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 419· εἶνε δὲ τάδε· «ἣν εἶχε τῶν παλλακίδων τιμιωτάτην Herodian. I. 16 44. cui plura similia apposuit Irmiscus. In Joseph. Antt. XIX. 6. 945. ἐρασμιώτερον ἄγειν τινά, i. e. *venerari*, melius quadrat σεβασμιώτερον. Plutarch. Amat. XIX. 46. Ἀφροδίτην ἔχουσι μάλιστα σεβάσμιον. ubi paene malim ἄγουσι. Liban. Antioch. p. 293 T. I. ὃν μέγιστον ᾄδουσι θεόν praestat ἄγουσι, ut paulo post p. 314. τῶν ἑαυτοῦ τιμιώτατον ἦγε. Item Plutarch. An Vit. Infel. Sust. III 89. τὴν δὲ νικήσασαν μακαρίαν ᾄδουσι lege ἄγουσι». Παρὰ τῷ Πολυβίῳ ἀπαντᾷ σελ. 1247,19 Οὐλσχ. «τοῦτ' οὐκ ἔπραξεν ἀλλ' ἐντιμότερον εἶχεν αὐτὸν ἢ πρότερον». Ἀλλὰ τὸ *εἶχεν* εἶνε προσθήκη τοῦ Μαΐου. Ὁ Κόβητος ἐν *Collect. Crit.* σελ. 14 ἔγραψεν «ἐντιμότερον αὐτὸν ΉΓΕΝ Ἢ πρότερον». Ὁ Δοβραῖος ἐν τῷ εἰς Θουκυδίδην Πίνακι (*Adversar.* Τόμ. Α', σελ. 107) λέγει «ἄγειν αὐτὸν τιμιώτερον. VIII. 81. med. Demosth. Philipp. III. p. 120. 17. ἐλευθέραν ἦγε τὴν Ἑλλάδα». Μεταγράφομεν ὅλην τοῦ Δημοσθένους τὴν ῥῆσιν ἔχουσαν ὧδε· «ἦν τι τότ', ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν διανοίαις, ὃ νῦν οὐκ ἔστιν· ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς μάχης ἡττᾶτο· νῦν δ' ἀπολωλὸς ἅπαντα λελύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν Ἑλλήνων πράγματα». Θαυμαστὸν ἡμῖν φαίνεται ὅτι ὁ Δοβραῖος, ἀνὴρ συνετώτατος, ὑπέλαβεν ὁμοίαν τὴν χρῆσιν τοῦ ῥήματος *ἄγειν* ἔν τε τῷ *ἄγειν αὐτὸν τιμιώτε-*

ρον καὶ ἐν τῷ *ἐλευθέραν ἦγε τὴν Ἑλλάδα*. Ὁ Βοιμέλιος ἐν τῇ ἐκδόσει τῶν Δημοσθένους Δημηγοριῶν σελ. 641 γράφει: «Num διῆγε? faciebat, ut Graecia libera maneret» *Schaeferus*. Sequitur Hirschig. Ann. Crit. p. 50. Eadem sententia est vulgati ἦγε ex usu proleptico, nec potest διάγειν cum adiectivo coniungi, ut monuit Klinkmueller Praef. init.» (Πρβ. καὶ Οὐεστερμαννὸν ἐν τῇ ἐκδόσει Λόγων Δημοσθένους Τόμ. Α', σελ. 212 ἐκδ. ε'). Ἀλλὰ καὶ ὁ Κόβητος ἀπεφήνατο ὅτι *διῆγε* ἐρρήθη ὑπὸ τοῦ Δημοσθένους, οὐχὶ *ἦγε*. Παρατιθέμεθα τὰ ὑπὸ τοῦ μεγάλου κριτικοῦ γεγραμμένα ἐν *Συμμίκτ. Κριτ.* σελ. 35 «Mendosum est ἦγε. Nemo intelligit quid sit τὴν Ἑλλάδα ἐλευθέραν ἄγειν: sed facile est sententiam oratoris reperire. Erat tum, inquit, in hominum mentibus aliquid, quod efficiebat ut Graecia in libertate viveret. Adde duas literulas et hoc ipsum habebis ἐλευθέραΝ ΔΙῆγε τὴν Ἑλλάδα. Noto usu διάγειν aut neutrum est *aetatem agere* aut transitivum facere ut aliquis aetatem transigat. Nobilis locus est in oratione *de Corona* pag. 255. 10. ὁ γὰρ τότε πόλεμος — ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις διῆγεν ἡμᾶς τῆς νῦν εἰρήνης».

Ξενοφ. Ἀγησ. ΙΑ', 6 «τὰς μὲν τῶν ἰδιωτῶν ἁμαρτίας πρᾴως ἔφερε, τὰς δὲ τῶν ἀρχόντων μεγάλας ἦγε».

Πλούτ. Ἠθικ. σελ. 35 ε' «ἄζηλον δὲ τὴν ἀρετὴν καὶ τὸ μηδὲν ἄνευ χρημάτων καὶ δόξης ἀγόντων» (Ἴδε καὶ Βυττεμβάχιον εἰς *Πλουτ. Ἠθικ.* Τόμ. ϛ', σελ. 293). Ἐν τῷ Ἀλεξάνδρῳ τοῦ Πλουτάρχου κεφ. ΛΘ',5 πρὸς τῇ γραφῇ «ἄλλως, φησίν, εὖ ποίει τοὺς φίλους καὶ *ἐνδόξους* ἄγε» ὑπάρχει καὶ ἡ «*ἐνδόξΩΣ* ἄγε». Ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων Βίων τοῦ Πλουτάρχου Μέρ. Δ', σελ. 436 νομίζει ὅτι ἔγραψεν ὁ Πλούταρχος «ἄλλοτε, φησίν, εὖ ἐποίεις τοὺς φίλους καὶ ἐνδόξΩΣ ἦγες». Διττὴ γραφὴ φέρεται καὶ παρ' Ἀθηναίῳ σελ. 393 ε' «τοὺς ὄντως θεοὺς *ταπεινΩΣ* ἦγε» καὶ *ταπεινΟΥΣ*. Ὁ Λοβέκκιος γράφει ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 419 «Quod Eustathiu. Athemaei locum IX. 393. F proferens pro τοὺς θεοὺς ταπεινῶ ἦγε adjectivum ταπεινοὺς substituit, neque valde probo, nequ improbo; est enim hoc usitatissimum: θαυμαστὸν ἄγειν τινα Aelian. H. An. X. 21. σεμνὸν Dio Chr. XXXI. 586. Dion.

Hal. VIII. 69. 1675. σεμνότερον αὐτοὺς ἄγουσι Lucian. Merc. Cond. IV. 218».

Ἀρριαν. Ἀναβ. Ζ', ιβ', 3 «ὄντινα ἴσον τῇ ἑαυτοῦ κεφαλῇ ἄγει» καὶ Ζ', δ', 6 «ὄντινα ἴσον τῇ ἐμαυτοῦ κεφαλῇ ἦγον». Καὶ ταῦτα τὰ χωρία καὶ ἄλλα τούτοις ὅμοια ἐμνημόνευσεν ἐκ τοῦ Ἀρριανοῦ ὁ Βοινῆρος ἐν *Act. Semin. Phil. Erl.* Τόμ. Δ', σελ. 22. Πρβ. καὶ Γρουνδομαννὸν ἐν *Berl. Stud.* Τόμ. Β', σελ. 252.

Λουκιαν. Ὀνείρ. ἢ Ἀλεκτρ. 18 «οὕτω διέθηκα τοὺς κατ' ἐκεῖνα Ἕλληνας, ὥστε θεὸν ἦγόν με».

Αἰλιαν. περὶ Ζῴ. ΙΑ', 10 «ἄγουσί τε Αἰγύπτιοι θαυμαστόν γε αὐτόν».

Ἀριστείδ. Τόμ. Α', σελ. 57 «ἴσμεν Αἰγυπτίους ὅσον τινὰ ἄγουσι θεὸν Ἡρακλέα» καὶ σελ. 149 «συμφορὰν οὐ φαύλην ἄγειν τὸ συμβεβηκός». Ἀσμενίζει δ' ὁ Ἀριστείδης τῇ τοιαύτῃ χρήσει, ὡς γίνεται δῆλον ἐκ τῶν παραδειγμάτων ἃ ἐξ αὐτοῦ κατέλεξεν ὁ Σμίδιος ἐν ἐν *Ἀττικ.* Τόμ. Β', σελ. 187-8.

Λιβάν. Ἐπιστολ. 380 (σελ. 191) «τοῦ δὲ ἐλθεῖν ἐκεῖσε τὸ μένειν οἴκοι βέλτιον ἄγειν». Πρβ. καὶ Ἐπιστολ. 301 (σελ. 146).

Φρύνιχ. σελ. 418 Λοβ. «οἱ τὸν Μένανδρον μέγαν ἄγοντες καὶ αἴροντες ὑπὲρ τὸ Ἑλληνικὸν ἅπαν».

Ἡλιόδ. Αἰθιοπ. Θ', 9 «θεοπλαστοῦσι τὸν Νεῖλον Αἰγύπτιοι καὶ κρειττόνων τὸν μέγιστον ἄγουσιν». Πρβ. καὶ βιβλ. Β', 22 «αἳ τὸν ξένον ἴσα καὶ πατέρα ἦγον» καὶ βιβλ. Γ', 4 «τὴν γὰρ πρὸς θάτερον αὐτῶν συζυγίαν ἴσα καὶ ἀθανασίαν ἦγον».

Ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις κεῖται σελ. 358, 26 Διδ. «*Ἄγειν* τὸ νομίζειν καὶ ἡγεῖσθαι, ὡς παρὰ Συνεσίῳ ἡμέρα μὲν οὖν ἦν, ἥντινα ἄγουσιν Ἰουδαῖοι παρασκευήν». Τὸ χωρίον τοῦ Συνεσίου βλέπει τις ἐν Ἐπιστ. Δ', σελ. 161 δ'. Φέρεται δ' ἐν τῇ αὐτῇ ἐπιστολῇ καὶ «ἃς ἐγὼ καὶ φιλῶ καὶ *ἐν ἀδελφαῖς ἄγω*» (σελ. 167 α').

Ἐν τῷ περὶ τοῦ Πυθαγορείου Βίου Λόγῳ τοῦ Ἰαμβλίχου § 259 μνημονεύονται οἱ στίχοι οἵδε.

τοὺς μὲν ἑταίρους ἦγεν ἴσΟΝ μακάρεσσι θεοῖσι·
τοὺς δ' ἄλλους ἡγεῖτ' οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ.

Ὁ Κόβητος ἐν *Collect. Crit.* σελ. 407 κελεύει ν' ἀναγνωσθῇ *ἦγεν*

ἰσΟΥΣ παραβάλλων αὐτὸ πρὸς τὸ *τίμιον ἄγειν τινά*. Ἴδε καὶ Νaύκιον εἰς *Ἰάμβλ. περὶ τοῦ Πυθ. Βί.* σελ. 182.

Παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ βιβλ. Α', ξζ', 3 κεῖται «τοὺς δ' ἐγχωρίους *ἀτιμότερΟΝ* ἄγοντος», ἀλλὰ παρὰ τῷ Ἀριστείδῃ ἀπαντᾷ Τόμ. Β', σελ. 124 «ἀκόλουθα δὲ ὅμως ποιεῖ καὶ παιδοτρίβας ἰατρῶν *ἐντιμοτέρΟΥΣ* ἄγων» καὶ παρὰ τῷ Θεμιστίῳ σελ. 129 γ' «καὶ τῶν λόγων αὐτῶν *προτιμοτέρΟΥΣ* ἄγεις τοὺς ἡμετέρους τῶν ὁμογλώττων» καὶ παρὰ τῷ Εὐσεβίῳ εἰς τὸν Βί. τοῦ Μακαρ. Κωνστ. Β', κϛ', 1 «τοὺς παρόντας φόβους τε καὶ κινδύνους οὐκ ἄγουσι τῶν μελλουσῶν ἐκείνων ἐλπίδων *προτιμοτέρΟΥΣ*» καὶ παρὰ τῷ Ἀψίνῃ (ἢ τῷ Λογγίνῳ) σελ. 143, 23 Βαχ. «διόπερ εἰκότως ὁ Δημοσθένης αὐτὴν *ἔντιμΟΝ* ἦγε». Πρβ. Πλάτ. Φαίδ. σελ. 64 δ' «τὰς ἄλλας — θεραπείας δοκεῖ σοι *ἐντίμους ἡγεῖσθαι* ὁ τοιοῦτος;» καὶ Ἡλιόδ. Αἰθ. Ε', 4 «ὃ πάντων τε *προτιμότερον ἐποιησάμεθα*». Τῷ ἐκ τοῦ Διοδώρου μνημονευθέντι «τοὺς δ' ἐγχωρίους *ἀτιμότερΟΝ* ἄγοντος» ἐμφερὲς ὑπάρχει τὸ παρὰ τῷ Ἀριστείδῃ εἰρημένον Τόμ. Β', σελ. 489 «*μείζόνΩΣ* ἄγουσι τὰ κατ' αὐτόν». Πρβ. καὶ Πλάτ. Πολιτ. σελ. 528 γ' «εἰ δὲ πόλις ὅλη ξυνεπιστατοῖ *ἐντίμΩΣ* ἄγουσα αὐτά». Ἐν τοῖς ὀλίγον πρὸ τῆς ῥήσεως ταύτης κειμένοις (σελ. 528 β') εἶνε γεγραμμένον «οὐδεμία πόλις *ἐντίμΩΣ* αὐτὰ ἜΧΕΙ». Ἴδε Λοβέκκιον εἰς *Φρύν.* σελ. 419. Τοῦ *ἄγειν ἐντίμως* ἐποιήσατο χρῆσιν καὶ Διόδωρος ὁ Σικελιώτης βιβλ. Θ', ιγ', 1 «ἦγεν ὡς ἰδίας θυγατέρας ἐντίμως». Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Α', α', σελ. 565 Διδ.

Σημειωτέον δ' ὅτι λέγεται καὶ *πρόσθ' ἄγειν τινά τινος* καὶ *ἔνερθε ἄγειν τινά τινος*, οἷον παρ' Εὐριπίδῃ Βάκχ. 225 «τὴν δ' Ἀφροδίτην πρόσθ' ἄγειν τοῦ Βακχίου» καὶ παρ' Ἡροδότῳ βιβλ. Α', 107 «πολλῷ ἔνερθε ἄγων αὐτὸν μέσου ἀνδρὸς Μήδου». Πρβ. καὶ Εὐριπίδ. Ἀποσπ. 645, 6 Ναυκ. «ἡ ταπεινὴ πρόσθεν *ἡγοῦνται* δίκης». Παρὰ τῷ Θεμιστίῳ Λόγ. σελ. 97 β' εἶνε ἐκδεδομένον ὑπὸ τοῦ Δινδορφίου «εἰ — τοῦ βασιλεῖ προσήκοντος ἐπίπροσθεν *ἄγοιΤΟ* ΤΟ θυμῷ κεχαρισμένον»· μνημονεύεται δὲ καὶ γραφὴ «ἐπίπροσθεν *ἄγοι* τὸ θυμῷ κεχαρισμένον», ἣν ὀφείλομεν πάντως νὰ προκρίνωμεν. Λέγει δ' ὁ Θεμίστιος καὶ σελ. 205 β' «συνεστιωμένου τοῦ ἀδελφοῦ τὸν στρατηγὸν ἐπίπροσθεν *ἄγει*» καὶ σελ. 215 δ' «ἀρετὴν ἐπίπροσθεν *ἄγειν* φανε-

ροὶ γινόμεθα ἐσπουδακότες» καὶ σελ. 218 β' «οὐκ ἔνδηλός ἐστιν ἐπίπροσθεν *ἄγων* ἀλήθειαν καλλιεπείας;» καὶ σελ. 239 α' «εἰ — τὴν ἀγαθὴν πρᾶξιν ἀεὶ ἐπίπροσθεν *ἄγοι* τῆς χρήματα ἢ δόξαν φερούσης» καὶ σελ. 355 α' «εἰ δέ τινας ὑμῶν συμπείσουσι τῶν ἀρετῇ τεθαρρηκότων ἐπίπροσθεν *ἄγειν* τοὺς τῆς τύχης ἐκκρεμαμένους», ὡς καὶ ὁ Ἡλιόδωρος Αἰθιοπ. Α', 25 «εἰ — τὸν λῃστὴν τοῦ ἐρωμένου πιστεύοις ἐπίπροσθεν ἄγειν» καὶ Ε', 22 «διότι πάντων ἐπίπροσθεν ἄγει τὴν σωφροσύνην» καὶ Ζ', 28 «τὴν ἐκείνης ἐπιθυμίαν καὶ τῆς ἡμετέρας σωτηρίας ἐπίπροσθεν ἄγοντες». Πρβ. καὶ Λιβάν. Ἐπιστολ. 96, σελ. 51 «τὸ τοὺς πάλαι συνήθεις πρὸ τῶν τὴν δύναμιν θεραπευόντων *ἄγειν*». Ἐν τοῖς τοῦ Λογγίνου εὕρομεν σελ. 188, 6 Οὐεισκ. «μετὰ τῶν ἐλλογιμωτάτων ἄγειν τὰ τούτου βιβλία φαίην ἂν δεῖν τοὺς ζητητικούς». Περὶ τοῦ παρὰ τῷ Φιλοστράτῳ σελ. 539 «διετέλει δὲ καὶ τὸν ἄλλον χρόνον ἐπαινῶν τὸν Πολέμωνα καὶ *ὑπὲρ θαῦμα ἄγων*» γράφει ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1873, σελ. 216 «Nihil est ὑπὲρ θαῦμα ἄγων, quod sine exemplo et praeter loquendi consuetudinem dictum est. Emenda ΥΠΕΡΘΑΥΜΑΖΩΝ. ἐπαινῶν — καὶ ὑπερθαυμάζων».

Ὁμοίαν ἔννοιαν τῷ πολλάκις παρὰ τῷ Θεμιστίῳ ἀπαντῶντι *ἐπίπροσθεν ἄγειν* ἐμφαίνει τὸ *ἐπίπροσθεν ποιεῖσθαι*, οὗ φέρομεν παραδείγματα ἐκ τοῦ Πλουτάρχου Ἀράτ. ΚΔ', 4 «οὐκ ἄλλο τι τῆς αὐξήσεως τῶν Ἀχαιῶν ἐπίπροσθεν ποιούμενος» καὶ ἐκ τοῦ Παυσανίου βιβλ. Ι', β', 3 «πεφυκόσιν ἐπίπροσθεν εὐσεβείας τὰ κέρδη ποιεῖσθαι» καὶ βιβλ. Δ', δ', 6 «κέρδη τε ἄδικα ἐπίπροσθεν ἢ πιστὸς εἶναι ποιούμενος» καὶ ἐκ τοῦ Ἰωσήπου Ἰουδ. Ἀρχαιολ. ϛ', ζ', 2 «τῆς μνήμης ὧν ἐπέστειλεν ὁ θεὸς τὸ τοῦ πολεμίου κάλλος ἐπίπροσθεν ποιησάμενος» καὶ ἐκ τοῦ Θεμιστίου σελ. 62 β' «τῆς ἑαυτοῦ ῥᾳστώνης ἐπίπροσθεν ἐποιήσατο τὴν Ῥωμαίων ἐλευθερίαν» καὶ ἐκ τοῦ Ἡλιοδώρου Αἰθιοπ. Η', 3 «πάντων ἐπίπροσθεν ποιοῦνται γένος τὸ ἴδιον ἀνακομίσασθαι» καὶ Ι', 16 «τῶν ἰδίων λυσιτελῶν τὸ τῆς πατρίδος ἐπίπροσθεν ποιούμενον». Ὑπὸ τοῦ Πολυβίου ἐλέχθη κατ' ἐνεργητικὴν φωνὴν βιβλ. ΚΗ', ζ', 12 «οἱ δικασταὶ τὴν ἰδίαν ἔχθραν ἐπίπροσθεν ποιήσαντες τοῦ τῶν Ἀχαιῶν εὐσχήμονος ἀνέτρεψαν πάσας τὰς τιμάς». Παρὰ δὲ Δίωνι τῷ Χρυσοστόμῳ κεῖται Τόμ. Β', σελ. 51 «πολιτεύεσθαι δὲ ἐπιχειροῦσιν ἐκ περιουσίας καὶ πάντα ἔμπροσθεν τούτου τιθέν-

Ἐν ταῖς Ἐκκλησιαζούσαις τοῦ Ἀριστοφάνους κεῖται στίχ. 559 «Α. Νὴ τὴν Ἀφροδίτην μακαρία γἄρ' ἡ πόλις ἔσται τὸ λοιπόν. Β. *Κατὰ τί*; Α. Πολλῶν οὕνεκα» καὶ στίχ. 604 «Α. Ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ. Β. *Κατὰ δὴ τί*; Α. Οὐδεὶς οὐδὲν πενίᾳ δράσει». Ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Ἐκκλησιαζουσῶν γράφει σελ. 154 «κατὰ τί; *Quamobrem*, vel. *quomodo?* Anglice, *in what respect?* Cf. 604. κατὰ δὴ τί;». Ἐν τῷ αὐτῷ δράματι ἐρρήθη ὑπὸ τοῦ Ἀριστοφάνους στίχ. 543 «αἱ δὲ δὴ Λακωνικαὶ ᾤχοντο μετὰ σοῦ *κατὰ τί* χὴ βακτηρία;», ποιεῖται δὲ περὶ αὐτοῦ ὁ Βλαϋδέσιος τὴν παρατήρησιν τήνδε σελ. 154 «κατὰ τί. *Qua de causa*. Cf. Av. 916. κατὰ τί δεῦρ' ἀνεφθάρης. Pac. 192. Nub. 239. Pac. 133. κατ' ἔχθραν». Σημειωτέον δ' ὅτι ὁ Βλαϋδέσιος ἐκλαμβάνει τὸ *ἥκεις δὲ κατὰ τί* καὶ ἐπὶ τελικῆς ἐννοίας καὶ ἐπ' αἰτιολογικῆς ἐν τῇ ἐκδόσει τῶν Ὀρνίθων σελ. 372, 1178 καὶ σελ. 333. 916. Πρβ. καὶ Εἰρ. σελ. 152, 192. Ἴδε καὶ Τούπιον ἐν *Διορθώσ*. Τόμ. Γ', σελ. 126 Περὶ τοῦ *ἥκεις δὲ κατὰ τί* ἐποιησάμεθα λόγον ἐν τῷ Δ' Μέρει (σελ. 263).

Ὁ Ἀριστοτέλης γράφει ἐν τοῖς μετὰ τὰ Φυσικὰ βιβλ. Δ', ιη', 3 (Τόμ. Β', σελ. 528, 34 Διδ.) «ὅλως δὲ τὸ καθ' ὃ ἰσαχῶς καὶ τὸ αἴτιον ὑπάρξει· *κατὰ τί* γὰρ ἐλήλυθεν ἢ οὗ ἕνεκα ἐλήλυθε λέγεται καὶ *κατὰ τί* παραλελόγισται ἢ συλλελόγισται ἢ τί τὸ αἴτιον τοῦ συλλογισμοῦ» (Ἴδε Βονίτζιον εἰς *Ἀριστοτ. τὰ μετὰ τὰ Φυσ*. Τόμ. Β', σελ. 88). Ἄξια μνείας εἶνε καὶ τὰ ὑπ' Ἀπολλωνίου τοῦ Ἀλεξανδρέως εἰρημένα ἐν τῷ περὶ Συνδέσμων (Βεκκ. Ἀν. σελ. 510, 1) «Τοῖς αὐτοῖς ἐπιχειρήμασι προσχρηστέον καὶ ἐπὶ τοῦ *διότι* καὶ ἔτι τοῦ *καθότι*· καὶ γὰρ ἡ *κατά* ἐν ἴσῳ παραλαμβάνεται τῇ *διά*, ὡς φαμεν *κατὰ ταύτην τὴν πρόφασιν* ἐν ἴσῳ τῷ *διὰ ταύτην τὴν πρόφασιν· κατὰ τοῦτο ἐλήλυθα, διὰ τοῦτο ἐλήλυθα*. Οὕτως ἔχει καὶ ἡ εἰς καὶ ἡ πρός· πρὸς τί λυπῇ; διὰ τί λυπῇ; εἰς τοῦτο ἐλήλυθα, διὰ τοῦτο ἐλήλυθα». Πρβ. σελ. 499, 4 «ὥστε καὶ *κατὰ τοῦτο* ἀσύστατον τὸ ἀέκητι», ὃ δύναται νὰ νοηθῇ καὶ ἀντὶ τοῦ *ὡς πρὸς τοῦτο*. Πολλάκις δ' ὁ Ἀπολλώνιος ποιεῖται χρῆσιν τοῦ *καθό*, οἷον σελ. 497, 31 «καθὸ οὔποτε οἱ σύνδεσμοι τὴν Α στέρησιν ἀναδέχονται» καὶ ἀλλαχοῦ, καὶ τοῦ *καθότι*. Περὶ τοῦ *πρὸς τί λυπῇ* καὶ τοῦ *εἰς τοῦτο ἐλήλυθα* θὰ εἴπωμεν τὰ δέοντα ἀλλαχοῦ. Θὰ διαλάβωμεν δ' ἐν οἰκείῳ τόπῳ καὶ περὶ τῆς χρήσεως μόνου τοῦ *τί* (*τίπτε*), ἄνευ προθέσεως, πρὸς δήλωσιν αἰτίας.

Παρατιθέμεθα ἃ ἔγραψεν ὁ Ἀβρέσχιος ἐν ταῖς εἰς Αἰσχύλον Παρατηρήσεσι καὶ ἃ ὁ Βυττεμβάχιος ἐν τῇ Κριτικῇ Βιβλιοθήκῃ.

Ἀβρέσχιος ἐν *Παρατηρ. εἰς Αἰσχύλ.* βιβλ. Α', σελ. 161 «κατὰ πρεσβείαν εἵλετο, ut κατὰ γῆρας ἀποθνήσκει Anton. Liberal. c. XXXIII. et XXXVII. et κατὰ τροφῆς ἔνδειαν c. XXXIX. Noster iterum vs. 689. ἦλθον Θησέως κατὰ φθόνον».

Βυττεμβάχιος ἐν *Βιβλιοθ. Κριτ.* Τόμ. Γ', Β', σελ. 49 «Ἠκολούθουν δὲ αὐτῷ κατὰ τὸ ξυγγενὲς σύμμαχοι προθυμότατοι Φράγγοι καὶ Σάξονες. Reprehendit Spanhemius Petavium vertentem κατὰ τὸ ξυγγενὲς *affinitatis nomine*, quod *ob cognationem*, *gentilitatem*, reddendum fuisset. Atqui in hoc non adeo argutandum erat, et Petavium reprehensione solvit usus Latinitatis. Potius monendum erat de forma Thucydidea. Ita enim L. VI. p. 474, D. Ed. Wechel: ἀξιοῦντες σφίσι κατὰ τὸ ξυγγενὲς βοηθεῖν. L. I. p. 5, B: κατὰ τὸ ξυγγενές. p. 83, B: ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενές. L.III. p. 132, A. Quod item imitatus est Dionysius Hal. A. R. VI. p. 412: μέλλουσιν Ἀντιάται (γρ. *Ἀντιᾶται*) βοηθεῖν Κοριολανοῖς κατὰ τὸ συγγενές. I. p. 18. VIII. p. 485. Item communi forma διὰ τὸ συγγενές, I. p. 40». Πρβ. Στούρζιον ἐν *Λεξ. Ξενοφ.* Τόμ. Β', σελ. 667 «11. *propter*. A. 7, 3, 20. σύνθημα δ' εἶπον (Athenienses honoris causa) κατὰ τὴν συγγένειαν — Sic Π. 5,2, 11. in marg. Steph. κατὰ ταῦτα, probante Zeunio, ubi editi καὶ τὰ αὐτά. K I, 5. κατὰ τὴν ἀρετὴν ἐθαυμάσθησαν» καὶ Δοβραῖον ἐν *Adversar.* Τόμ. Α', σελ. 105 «Si verum est προὐκαλοῦντο, legendum videtur καὶ κατὰ τὴν ὀλιγαρχίαν, *on the strength of* — ut alibi κατὰ τὸ ξυγγενές, etc.». Ὁ Θουκυδίδης φιλῆδεῖ τῇ ἐκφορᾷ *κατὰ τὸ ξυγγενές*, οἷον βιβλ. Α', 6, 3 «Ἰώνων τοὺς πρεσβυτέρους κατὰ τὸ ξυγγενὲς ἐπὶ πολὺ αὕτη ἡ σκευὴ κατέσχεν» καὶ βιβλ. Α', 95, 1 «ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενές» καὶ βιβλ. Γ', 86, 2 «τῆς δὲ Ἰταλίας Λοκροὶ μὲν Συρακοσίων ἦσαν, Ῥηγῖνοι δὲ κατὰ τὸ ξυγγενὲς Λεοντίνων» καὶ βιβλ. ϛ', 6, 2 «Δωριῆς τε Δωριεῦσι κατὰ τὸ ξυγγενὲς καὶ ἅμα ἄποικοι τοῖς ἐκπέμψασι Πελοποννησίοις βοηθήσαντες» καὶ βιβλ. ϛ', 20, 3 «οὓς ἐλπίζω ἡμῖν κατὰ τὸ Λεοντίνων ξυγγενὲς προσέσεσθαι» καὶ βιβλ. ϛ', 76, 2

«Λεοντίνων μὲν Χαλκιδέων ὄντων κατὰ τὸ ξυγγενὲς κήδεσθαι» καὶ βιβλ. Ϛ', 88, 7 «λόγους ἐποιοῦντο ἀξιοῦντες σφίσι κατὰ τὸ ξυγγενὲς βοηθεῖν» καὶ βιβλ. Ζ', 58, 3 «Κορίνθιοι δὲ — μόνοι παραγενόμενοι καὶ Λευκάδιοι καὶ Ἀμπρακιῶται κατὰ τὸ ξυγγενές» καὶ βιβλ. Η', 100, 3 «Ἀναξάνδρου Θηβαίου κατὰ τὸ ξυγγενὲς ἡγουμένου». Ἐποιήσατο δὲ χρῆσιν ὁ Θουκυδίδης καὶ τοῦ *κατὰ ξυγγένειαν* βιβλ. Ζ', 57, 1 «οὐ κατὰ δίκην τι μᾶλλον οὐδὲ κατὰ ξυγγένειαν μετ' ἀλλήλων στάντες» καὶ βιβλ. Ϛ', 50, 4 «Ἀθηναῖοι ἥκουσι Λεοντίνους ἐς τὴν ἑαυτῶν κατοικιοῦντες κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν».

Ὁ Ματθίας λέγει ἐν *Διεξοδ. Ἑλλην. Γραμματ.* σελ. 1359 ἐκδ. γ' «*wegen*. Herod. 9, 37. κατὰ τὸ ἔχθος τὸ Λακεδαιμονίων, *wegen des Hasses, aus Hass gegen die Lacedämonier*. Vgl. 7, 142. Soph. El. 568. Antig. 174. Plat. Görg. p. 474. D» καὶ ὁ Βερνάρδυς ἐν *Ἐπιστημ. Συντ. τῆς Ἑλλην. Γλώσσ.* σελ. 239 «ferner im Sinne *wegen* für viele meist poetische Stellen: Hesiod. fr. 73. ἀπειρέσιον κατὰ εἶδος. Soph. Trach. 230. κατ' ἔργου κτῆσιν, und wol auch El. 568. κατὰ σφαγάς. Arist. Pac. 133. κατ' ἔχθραν αἰετοῦ: von welcher Art noch Herodotus manches darbietet». Ἐξ ὧν ἐν τοῖς ἔμπροσθεν ἐγράψαμεν φανερὸν ἐγένετο ὅτι πολλάκις μὲν ὁ Ἡρόδοτος ἐχρήσατο τῇ περὶ ἧς ὁ λόγος ἐκφορᾷ, πολλάκις δ' ὁ Θουκυδίδης.

Ἐν τῇ Ἀντιγόνῃ τοῦ Σοφοκλέους στίχ. 174 φέρεται «ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων», ᾧ ὅμοιον τὸ παρ' Ἰσαίῳ περὶ τοῦ Ἀγν. Κλήρ. 33 «εἰ μὲν κατ' ἀγχιστείαν τοῦ Ἁγνίου μετεῖναί φησι τῷ παιδὶ τοῦ ἡμικληρίου», ἐν δὲ τῇ Ἠλέκτρᾳ στίχ. 568 «οὐ κατὰ σφαγὰς ἐκκομπάσας ἔπος τι τυγχάνει βαλών», περὶ οὗ λέγει ὁ Ἐλλένδετος ἐν τῷ Σοφοκλείῳ Λεξικῷ σελ. 371 ἐκδ. β' «sed nonne vulgata praeferenda: *huius in caede gloriatus inverecunde locutus* est? Bernhardy l. c. p. 239 *caedis causa* interpretatur. Rectius autem quis *de caede* quam *propter caedem* gloriatur. Ὑπὸ τοῦ Ναυκίου γίνεται ἐξήγησις τοῦ *οὐ κατὰ σφαγὰς ἐκκομπάσας* διὰ τοῦ «*wegen* (eigentlich *bei*) *der Erlegung des Hirsches sich rühmend*». Πρβ. καὶ Βλαϋδέσιον εἰς *Σοφοκλ. Ἠλ.* σελ. 104 καὶ 296.

Συχνάκις παραλαμβάνεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἡ πρόθεσις *κατά* πρὸς δήλωσιν ὁμοιότητος ἢ συμφωνίας καὶ ἀκολουθίας, οἷον

κατ' ἄνθρωπον, καθ' Ἡρακλέα, κατὰ Νεῖλον, κατὰ τὸν πατέρα Ἄγνωνα, κατὰ πνιγέα, κτλ.

καθ' Ὅμηρον (κατὰ τὸν Ὅμηρον), κατὰ Φρῦνιν (τὰς κατὰ Φρῦνιν καμπάς), κατὰ Λυσίαν, κτλ. (Πρβ. Διόδ. Σικελ. Α', ε', 1 «ἀπὸ δὲ τῶν Τρωϊκῶν ἀκολούθως Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ τίθεμεν ὀγδοήκοντ' ἔτη πρὸς τὴν κάθοδον τῶν Ἡρακλειδῶν»).

κατὰ κλέος (κατὰ κλέος ὃ πρὶν ἄκουον, κατὰ τὴν διαδεδομένην φήμην), κατὰ τὸν σὸν λόγον, κατὰ γνώμην τὴν ἐμήν (κατά γε τὴν ἐμήν, κατά γε τὴν ἐμὴν δόξαν), κτλ.

κατὰ στίβον, κατ' ἴχνος, κατὰ τὸν λαμπτῆρα (ἐπηκολούθει κατὰ τὸν λαμπτῆρα) κατὰ τὴν φωνήν (ὁ κροκόδειλος ἵεται κατὰ τὴν φωνήν), κτλ.

κατὰ ταῦτα, κατὰ ταὐτά (κατὰ ταὐτὰ ὡσαύτως, ὡσαύτως κατὰ ταὐτά), κατὰ τάδε (καττάδε), κατὰ τὰ πάτρια (καττὰ πάτρια, κατὰ τὰ πάτρια θύειν, κτλ.), κατὰ τὰ Σιμωνίδου, κατὰ τὸν αὐτὸν τρόπον, κατ' ἄλλον τρόπον, κατὰ τὸν Ἑλληνικὸν τρόπον, κτλ. (Πρβ. καὶ καθά, καθάπερ, ἰων. κατάπερ, καθαπερεί, καθαπερανεί).

κατὰ τὰς ὁμολογίας, κατὰ τὰς συνθήκας, κατὰ τὰ συγκείμενα, κατὰ τοὺς ὅρκους, κτλ. (Πρβ. Ἰσοκράτ. πρὸς Καλλίμ. 34 «ὥστ' οὐκ ἄξιον οὔτε κατὰ χάριν οὔτε κατ' ἐπιείκειαν οὔτε κατ' ἄλλο οὐδὲν ἢ κατὰ τοὺς ὅρκους περὶ αὐτῶν ψηφίσασθαι»).

κατὰ μοῖραν, κατ' αἶσαν, κατὰ κόσμον, κατὰ τρόπον, κατὰ τὸ προσῆκον, κτλ.

κατὰ ῥοῦν, κατὰ φύσιν, κατ' ἔθος (ἢ κατὰ φύσιν ἢ κατ' ἔθος), κατὰ συνήθειαν, κατὰ τὸ εἰωθός, κτλ. (Πρβ. Διογέν. Λαέρτ. Ζ', 87 «τὸ ὁμολογουμένως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατ' ἀρετὴν ζῆν» καὶ Σχολ. Ἰλ. Τόμ. Α', σελ. 312, 26 «Ὅτι θῦσαι οὐ σφάξαι, ὡς ὁ Τιμόθεος ὑπέλαβε καὶ Φιλόξενος, ὁμοίως τῇ ἡμετέρᾳ συνηθείᾳ, ἀλλὰ θυμιᾶσαι»).

κατὰ στάθμην, κατὰ μέτρον, κατὰ δύναμιν (καδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι), κατὰ λόγον (σκοπεῖν κατὰ λόγον), κτλ.

κατὰ στοῖχον (=στοιχηδόν), κατ' εὐθυωρίαν, κατὰ κάθετον, κτλ.

κατὰ ψήφισμα, κατὰ νόμον, κτλ. (Πρβ. Δημοσθέν. σελ. 1100,67 «βουλευτέον ἐστὶν—τοῖς νόμοις ἀκολούθως». Συναγ. Ἐπιγρ. Ἑλλην. Βοικκ. Τόμ. Β', σελ. 1075 «καλῶς τε καὶ δικαίως καὶ ἀκολούθως τοῖς νόμοις» καὶ σελ. 1018 «καλῶς καὶ ἀκολούθως τοῖς νόμοις», οἷς ὅμοιον τὸ ἐν σελ. 695, 23 «συνλελαλήκασιν ὑπὲρ ἁπάντων ἀκολούθως τοῖς ἐν τῇ ὁμολογίᾳ γεγραμμένοις»).

κατὰ πρόσταγμα - κατὰ τὸ πρόσταγμα, κατὰ τὸ διάταγμα, κατὰ τὴν ὑφήγησιν, κατὰ παράδειγμα, κτλ. (Πρβ. Πλάτ. Πρωταγ. σελ. 326 γ' «ἡ πόλις αὖ τούς τε νόμους ἀναγκάζει μανθάνειν καὶ κατὰ τούτους ζῆν κατὰ παράδειγμα»).

κατὰ στοιχεῖον (κατ' ἀλφάβητον), κατὰ λέξιν, κτλ.

κατ' εὐχήν, κατὰ νοῦν (χωρεῖν κατὰ νοῦν, πράττειν κατὰ νοῦν), κτλ.

κατὰ δαίμονα, κατὰ θεόν, κατὰ τύχην, κατ' εὐτυχίαν (κατὰ συγκυρίαν, κατὰ περίστασιν), κτλ.

Ἐναντίαν ἔννοιαν τῆς ὑπὸ τῆς προθέσεως *κατά* δηλουμένης ἐμφαίνει ἡ *παρά*, *οἷον*

κατὰ μοῖραν — παρὰ μοῖραν,
κατὰ νόμον — παρὰ νόμον,
κατὰ φύσιν — παρὰ φύσιν,
κατὰ λόγον — παρὰ λόγον,
κατὰ γνώμην — παρὰ γνώμην,
κατὰ συνήθειαν — παρὰ συνήθειαν,
κατὰ τὸ εἰωθός — παρὰ τὸ εἰωθός,
κατὰ τὸ προσῆκον — παρὰ τὸ προσῆκον,
κατὰ τὴν βούλησιν — παρὰ τὴν βούλησιν,
κατὰ τὰς ὁμολογίας — παρὰ τὰς ὁμολογίας,

κατὰ τὰς συνθήκας — παρὰ τὰς συνθήκας,
κατὰ τοὺς ὅρκους — παρὰ τοὺς ὅρκους,

κτλ. Ὁ Δημοσθένης λέγει σελ. 581, 207 «*κατὰ τοὺς νόμους* δ' ἥντινα βούλει παρ' ἐμοῦ δίκην λάμβανε, ὧν δ' ἐγὼ *παρὰ τοὺς νόμους* ὑβρίσθην, μή μ' ἀφαιροῦ τὴν τιμωρίαν» καὶ σελ. 627, 20 «σκοπείσθω πότερον *παρὰ τοὺς νόμους* ἢ *κατ' αὐτοὺς* εἴρηται» καὶ ὁ Λυσίας κατὰ Φίλων. 29 «ὅτι οὐ *κατὰ τὸ προσῆκον* ἑαυτοῖς ἐβοήθησαν τῷ δήμῳ — ὅτι *παρὰ τὸ προσῆκον* ἑαυτῷ προύδωκε τὴν πόλιν» (Πρβ. καὶ κατ' Ἀλκιβ. Β', 6) καὶ ὁ Πυθαγόρειος Θεάγης παρὰ Στοβ. Ἀνθολ. Α', 67 (Τόμ. Α', σελ. 24, 27 Μειν.) «ἁ δὲ *κατὰ τὸν ὀρθὸν λόγον* αὐτᾶς σύνταξις καὶ *παρὰ τὸν ὀρθὸν λόγον* παράβασις» καὶ Φίλων ὁ Ἰουδαῖος Τόμ. Ϛ', σελ. 161 «διάλυσις δὲ οὐδὲν ἦν ἄρα ἢ πρὸς τὴν *κατὰ φύσιν* ἑκάστων ἐπάνοδος· ὥστε κατὰ τὸ ἐναντίον ἡ σύνθεσις εἰς τὸ *παρὰ φύσιν* τὰ συνελθόντα βεβίασται». Ἐν δὲ τῷ Λεξικῷ τοῦ Σουΐδα φέρεται λ. *Καικίλιος* «περὶ τῶν *καθ' ἱστορίαν* ἢ *παρ' ἱστορίαν* εἰρημένων τοῖς ῥήτορσι». Πρβ. Ψευδαριστοτ. Ἠθικ. Εὐδ. Β', ζ', 8 (Τόμ. Β', σελ. 200, 3 Διδ.) «ἐγκρατεύεται δ' ὅταν πράττῃ *ΠΑΡΑ τὴν ἐπιθυμίαν ΚΑΤΑ τὸν λογισμόν*». Παρὰ τῷ Ἱπποκράτει Τόμ. Α', σελ. 405 κεῖται «τοῖσι μὴ *κατὰ λόγον* κουφίζουσι οὐ δεῖ πιστεύειν οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα *παραλόγως*». Εἶνε δ' ἀντὶ τοῦ *παραλόγως* παρὰ τῷ Γαληνῷ Τόμ. ΙΖ', β', σελ. 515 γεγραμμένον *παρὰ λόγον*. Ἐν τοῖς Ὀνειροκριτικοῖς τοῦ Ἀρτεμιδώρου φέρεται βιβλ. Α', 77 «στέφανον ἀναδεδέσθαι πεποιημένον ἐξ ἀνθέων τὸ μὲν καθόλου καὶ κοινὸν τῶν *κατὰ τὴν ὥραν* ἀγαθόν, τῶν δὲ *παρὰ τὴν ὥραν* πονηρόν» καὶ «οἱ δὲ ἐκ τῶν ἴων γεγονότες *κατὰ* μὲν *τὴν ὥραν* ἀγαθοί, *παρὰ* δὲ *τὴν ὥραν* μοχθηροί» καὶ «οἱ δὲ ἐκ τῶν ῥόδων *ΠΑΡΑ* μὲν *τὸν καιρὸν* πᾶσιν ἀγαθοὶ πλὴν τῶν νοσούντων». Εὖ ποιῶν δ' ὁ Ῥείσκιος μετέβαλε τὸ «ΠΑΡΑ μὲν τὸν καιρόν» εἰς τὸ «ΚΑΤΑ μὲν τὸν καιρόν».

Τῷ *κατὰ δύναμιν* ἀντίκειται οὐ μόνον τὸ *παρὰ δύναμιν* ἀλλὰ καὶ τὸ *ὑπὲρ δύναμιν*. Ὁμοίως λέγεται μὲν *κατὰ τὴν ἀξίαν*, λέγεται δὲ *παρὰ τὴν ἀξίαν* καὶ *ὑπὲρ τὴν ἀξίαν*. Πρβ. *κατ' αἶσαν* - *παρ' αἶσαν*· ἔτι δὲ *ὑπὲρ μοῖραν*, *ὑπὲρ μόρον* (ἢ *ὑπέρμορον*, *ὑπέρμορα*), *ὑπὲρ μέτρον*, κτλ. Ἀπαντᾷ δὲ καὶ *πέρα τοῦ μέτρου* (*καὶ ἔξω τοῦ μέτρου*), κτλ.

Ἐν τῷ εἰς Ἑρμῆν Ὁμηρικῷ Ὕμνῳ στίχ. 431 κεῖται «τοὺς δὲ *κατὰ πρέσβιν* τε καὶ ὡς γεγάασιν ἕκαστος ἀθανάτους γεραίρων θεοὺς Διὸς ἀγλαὸς υἱός». Εἶπε δὲ καὶ ὁ Πλάτων Νόμ. σελ. 855 δ' «ὁ δικαστὴς ἑξῆς ἡμῖν ἐγγύτατα *κατὰ πρέσβιν* ἰζέσθω» καὶ σελ. 924 γ' «οἱ πρεσβύτατοι πάντων ἐπιμελείσθων (-μελέσθων) ἀεὶ *κατὰ πρέσβιν*». Πρβ. καὶ Αἰσχύλ. Πέρσ. 4 «*κατὰ πρεσβείαν* οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς Δαρειογενὴς εἵλετο χώρας ἐφορεύειν». Ὁ Βλομφίελδος ποιεῖται ἐν τῇ ἐκδόσει τῶν Αἰσχύλου Περσῶν σελ. 102 τὴν παρατήρησιν τήνδε· «Κατὰ πρεσβείαν. *Secundum senectutem*, vel, ut Schol. Hesychius, et Stanleius, *propter dignitatem*». Πρβ. Ματθίαν ἐν *Παρατηρήσ. εἰς Ὁμηρ. Ὕμν.* σελ. 290. Ἐν τοῖς εἰς Αἰσχύλον Σχολίοις φέρεται σελ. 71, 13 Δινδ. «κατὰ πρεσβείαν: κατὰ τιμὴν αἱρεθέντες».

Φανερὸν δὲ παντὶ γίνεται ὅτι τῇ ἐννοίᾳ τῆς συμφωνίας ἢ ἀκολουθίας εὐκόλως παραβλαστάνει ἡ τῆς αἰτίας· διότι τὸ συμφώνως τινὶ γινόμενον οὐχὶ σπανίως κυβερνᾶται τρόπον τινὰ καὶ κανονίζεται εἰς τὰ τῆς γενέσεως ὑπ' αὐτοῦ παρέχοντος ἐνδόσισμον καὶ ἀφορμὴν ἢ διότι τὸ ἀποτέλεσμα παρομαρτεῖ συνήθως τῷ αἰτίῳ καὶ τὸ ἑπόμενόν τινι πολλάκις καὶ ἀποτέλεσμα αὐτοῦ εἶνε. Γνωστὸν δ' ὑπάρχει ὅτι παραλαμβάνεται ἐνίοτε τὸ *ἐπακολούθημα* ἐφ' ὁμοίου σημαινομένου καὶ τὸ *ἀποτέλεσμα* ἢ *συμπέρασμα*· ὅθεν λέγεται καὶ *κατ' ἐπακολούθημα*, περὶ οὗ γράφει ὁ πολὺς Κόβητος ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 505: Σμικρόν τι πταῖσμα ἔξελέ μοι σελ. 429 ἐκ τούτων· «ἃ δὲ αὐτοὶ ἐξευρηκέναι φρυάττονται τούτων ὁ ἔλεγχος· κατεπακολούθημα δὲ καὶ περὶ τῆς ἐγκυκλίου καλουμένης παιδείας». Δίχα μοι διάτεμνε κατ' ἐπακολούθημα, οὕτω γὰρ τοῖς φιλοσόφοις λέγειν ἔθος, ὡς Κλήμης σελ. 331 «πάντων τῶν καλῶν αἴτιος ὁ θεός, ἀλλὰ τῶν μὲν κατὰ προηγούμενον, τῶν δὲ κατ' ἐπακολούθημα» καὶ σελ. 434 «κατ' ἐπακολούθημα δ' αὖ τῆς ἐκλογῆς». Ἔστι δὲ τὸ Φραγκιστὶ λεγόμενον «par conséquent», καὶ πολλάκις τὸ ἐπακολουθεῖν, ἐπακόλουθος, -θως, -θία, -θητικός ἐπὶ τοῦ αὐτοῦ κείμενον εὑρήσεις. Περὶ τῆς χρήσεως τοῦ τε ἁπλοῦ *ἀκόλουθος*, *ἀκολουθία*, *ἀκολουθεῖν*, κτλ. καὶ του συνθέτου *ἐπακόλου-*

θος, *ἐπακολουθία*, κτλ. θὰ διαλάβωμεν ἀκριβῶς ἀλλαχοῦ. Τοῦτο δ' ἐνθάδε μόνον λέγομεν, ὅτι παρὰ τῷ Στράβωνι φέρεται σελ. 224,25 «οὐδὲ τὸ τῶν μυῶν πλῆθος ἴδιον, *'ΑΦ' ΟΥ* καὶ λοιμικαὶ νόσοι πολλάκις *ἠκολούθησαν*».

Ὅταν λέγηται ὅτι γίνεταί τι *κατὰ φιλίαν*, μηνύεται μὲν συμφωνία ἢ ἀκολουθία, ἀλλὰ τοιαύτη ἀκολουθία, ἥτις ὀλίγον ἢ οὐδὲν διαφέρει τῆς σχέσεως αἰτιατοῦ καὶ αἰτίου. Ὅθεν τὸ *κατὰ φιλίαν* εἶνε παραστατικὸν ἐμφεροῦς ἐννοίας τῷ *φιλίᾳ* ἢ *διὰ φιλίαν* ἢ *ὑπὸ* (ἢ *ἕνεκα*) *φιλίας*. Πρβ. *φθόνῳ-ὑπὸ φθόνου-κατὰ φθόνον-διὰ φθόνον* καὶ *στάσει-διὰ στάσιν-κατὰ στάσιν* καὶ *ἀγνοίᾳ-ὑπ' ἀγνοίας-κατ' ἄγνοιαν* (*-δι' ἄγνοιαν*) καὶ *ἀνάγκῃ-ὑπ' ἀνάγκης* (*-ἐξ ἀνάγκης*)-*κατ' ἀνάγκην*. (Πρβ. Ἄστιον εἰς *Πλάτ.* Τόμ. ΙΑ', σελ. 791). Παρὰ τῷ Ξενοφῶντι φέρεται Κύρ. Παιδ. Δ', γ', 7 «νῦν μὲν οὖν οὕτω ταῦτ' ἔχει κατ' ἀνάγκην» καὶ παρὰ τῷ Παυσανίᾳ βιβλ. Ζ', κε', 6 «κατὰ ἀνάγκην δὲ ἐκλείπουσι Μυκηναῖοι τὴν πόλιν, ἐπιλιπόντων σφᾶς τῶν σιτίων».

Οἱ ὀνομαστοὶ Ὁλλανδοὶ φιλόλογοι *Herwerden* καὶ *Leeuwen* γράφουσιν ἐν τῇ ἐκδόσει τῆς Ἀριστοτέλους Ἀθηναίων Πολιτείας σελ. 207 «Non multum differt (praepositio κατά) a διά in verbis κἄν τινι κατὰ τὸ γένος ἱερωσύνη γένηται 107, 5». Πρβ. Ἀπολλόδ. Α', η', 2, 7 «τὸ δέρας αὐτῇ (Ἐρχ.: *αὐτὴν*) ἀφείλοντο *κατὰ γένος* αὐτοῖς προσήκειν λέγοντες», κτλ. Παρὰ τῷ Λυσίᾳ ἀπαντᾷ ὑπὲρ τῶν τοῦ Νικ. Ἀδελφ. 6 «οὔτε *γένει* οὔτε οὐσίᾳ οὔθ' ἡλικίᾳ δοκῶν ἀνάξιος εἶναι τῆς πολιτείας μετασχεῖν» καὶ 11 «οἷς μάλιστα προσῆκε καὶ *διὰ γένος* καὶ διὰ πλοῦτον καὶ διὰ τὴν ἄλλην ἀρετὴν τιμᾶσθαι».

Παρὰ τῷ Θουκυδίδῃ κεῖται βιβλ. Δ', 99 «νομίζοντες τὴν μὲν Ὠρωπίαν — Ἀθηναίων *κατὰ τὸ ὑπήκοον* εἶναι», οὐ γίνεται ἐξήγησις ὑπὸ τοῦ Πόρτου ἑλληνιστὶ ὧδε· «διὰ τὸ ὑπήκοον, ὅτι τοῖς Ἀθηναίοις ὑπήκοος ἦν» καὶ βιβλ. Α, 107, 7 «ἦλθον δὲ καὶ Θεσσαλῶν ἱππῆς τοῖς Ἀθηναίοις *κατὰ τὸ ξυμμαχικὸν*» καὶ βιβλ. Β', 22, 3 «ἡ δὲ βοήθεια αὕτη τῶν Θεσσαλῶν *κατὰ τὸ παλαιὸν ξυμμαχικὸν* ἐγένετο τοῖς Ἀθηναίοις» καὶ 101, 4 «μὴ ὑπ' αὐτῶν ἀγόμενοι *κατὰ τὸ ξυμμαχικὸν* καὶ ἐπὶ σφᾶς χωρήσωσιν» καὶ βιβλ. Γ', 3, 4 «αἳ ἔτυχον βοηθοὶ παρὰ σφᾶς *κατὰ τὸ ξυμμαχικὸν* παροῦσαι» καὶ βιβλ. Δ', 61,4 «τοῖς γὰρ οὐδεπώποτε σφίσι *κατὰ τὸ ξυμμαχικὸν* προσβοη-

θήσασιν κτέ.» καὶ βιβλ. Ε', 6, 2 «ὅπως παραγένοιτο στρατιὰ *κατὰ τὸ ξυμμαχικὸν*» καὶ βιβλ. Ζ', 20, 1 «ἐς Ἄργος ἀφικομένῳ *κατὰ τὸ ξυμμαχικὸν* παρακαλεῖν Ἀργείων ὁπλίτας ἐπὶ τὰς ναῦς» καὶ 33, 5 «τοὺς Μεταποντίους πείσαντες *κατὰ τὸ ξυμμαχικὸν* ἀκοντιστάς τε ξυμπέμπειν κτέ.». Σημαίνει δὲ τὸ *κατὰ τὸ ξυμμαχικὸν* συμφώνως ἢ ἀκολούθως τῷ συμμαχικῷ, ὡς ἐπετάττετο ἢ ἐπιτάττεται ὑπὸ τῆς συμμαχίας. Ἀλλ' οὐδεὶς δύναται νὰ μὴ ὁμολογήσῃ ὅτι εὐκόλως πολλάκις γίνεται μετάβασις ἢ μετάπτωσις ἐκ τῆς ἐννοίας τῆς συμφωνίας ἢ ἀκολουθίας εἰς τὴν τῆς αἰτίας. Πρβ. Θουκυδ. Ζ', 57, 9 «Ἀργεῖοι μὲν γὰρ οὐ *τῆς ξυμμαχίας ἕνεκα* μᾶλλον ἢ τῆς Λακεδαιμονίων τε ἔχθρας καὶ τῆς παραυτίκα ἕκαστοι ἰδίας ὠφελίας». Ἐν τοῖς εἰς Θουκυδίδην Σχολίοις βιβλ. Ζ', 33 (σελ. 118, 24 Διδ.) φέρεται «Κατὰ τὸ ξυμμαχικόν: *συμφώνημα* δηλονότι, ἤγουν καθὼς ἀποτείνει ἡ συμμαχία». Τὸ «καθὼς *ἀποτείνει* ἡ συμμαχία» παράδοξον προσπῖπτον μεταβλητέον ἴσως εἰς τὸ «καθὼς *ἀπαιτεῖ* ἡ συμμαχία». Γελοιότατον δ' εἶνε τὸ *ξυμμαχικὸν συμφώνημα*. Ὁ Θουκυδίδης εἶπε *κατὰ τὸ ξυμμαχικόν*, ὡς *κατὰ τὸ νησιωτικὸν* καὶ *κατὰ τὸ ὅμορον*, ποιούμενος πολλάκις χρῆσιν τοῦ οὐδετέρου ἐπιθέτου ἀντὶ τοῦ οὐσιαστικοῦ (Πρβ. Πόππον ἐν τῇ μεγάλῃ ἐκδόσει τοῦ Θουκυδίδου Μέρ. Α', α', σελ. 168). Ὁ Σχαιφῆρος γράφει ἐν τῇ ἐκδόσει τοῦ περὶ Ἐλλείψεων συγγράμματος τοῦ Βοσίου σελ. 455 «Imo κατὰ τὸ ξυμμαχικὸν ibi est ex noto Hellenismo, de quo supra ad v. Πρόσωπον, i. q. κατὰ τὴν ξυμμαχίαν. Sic Alciphron II. ep. 3 p. 236. ed. Bergl. ὧν οὔτε τὸ φιλικὸν βέβαιον, οὔτε τὸ διεχθρεῦον ἀκίνδυνον. i. e. ἡ φιλία, ἡ ἔχθρα» (Πρβ. καὶ σελ. 169 κἑξ. καὶ σελ. 420 καὶ σελ. 517). Σημειωτέον δ' ὅτι ὑπὸ μὲν τοῦ Θουκυδίδου ἐλέχθη βιβλ. Α', 107, 7 «ἦλθον δὲ καὶ Θεσσαλῶν ἱππῆς τοῖς Ἀθηναίοις *κατὰ τὸ ξυμμαχικόν*, οἳ μετέστησαν ἐν τῷ ἔργῳ παρὰ τοὺς Λακεδαιμονίους», ὑπὸ δὲ τοῦ Ἀριστείδου Τόμ. Α', σελ. 655 «Θετταλοί ποτε δεῦρ' ἐλθόντες ἱππεῖς *κατὰ συμμαχίαν* μετέστησαν παρὰ τὴν μάχην ὡς τοὺς Λακεδαιμονίους». Τοῦ *κατὰ συμμαχίαν* ἐγένετο χρῆσις καὶ ὑπὸ τοῦ Θουκυδίδου βιβλ. ϛ', 50, 4 «Ἀθηναῖοι ἥκουσι Λεοντίνους ἐς τὴν ἑαυτῶν κατοικιοῦντες κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν». Πρβ. Συλλ. Ἐπιγρ. Ἑλλην. Διττεμβ. 208, 4 (σελ. 315-6) «Ἀχαιῶν οἱ διαβάντες κατὰ συμμαχίαν πρὸς βασιλεα Εὐμένη» καὶ

Ἰώσηπ. Τόμ. Γ', σελ. 320, 15 «σὺν ἱππόταις τε καὶ πεζοῖς κατὰ ξυμμαχίαν αὐτῷ παροῦσιν». Ἀλλὰ δύναται ἐν τοῖς χωρίοις τούτοις νὰ ἐκληφθῇ ἐπὶ τελικῆς ἐννοίας τὸ *κατὰ συμμαχίαν*, ὡς κεῖται παρὰ τῷ Κανταχουζηνῷ Τόμ. Α', σελ. 295, 14 «ἧκεν εἰς Βυζάντιον κατὰ συμμαχίαν τῷ πρεσβυτέρῳ βασιλεῖ» καὶ σελ. 297, 4 «τοῖς κατὰ συμμαχίαν ἥκουσι Μυσοῖς». Πρβ. καὶ Πολύβ. Δ', νγ', 8 «οἱ δὲ Κνώσιοι—ἐπισπῶνται χιλίους ἐξ Αἰτωλίας ἄνδρας κατὰ συμμαχίαν» καὶ Φιλ. Ἰουδ. Τόμ. Ε', σελ. 66 «ἐγχωρίων τε καὶ τῶν κατὰ συμμαχίαν ἀφικνουμένων». Ὑπὸ τοῦ Κανταχουζηνοῦ ἐλέχθη Τόμ. Α', σελ. 298, 15 «εἰ — τοσούτους πέμψεις στρατιώτας *συμμαχήσοντας* τοῖς πολεμίοις» καὶ ὑπὸ Διοδώρου τοῦ Σικελιώτου βιβλ. ΙΓ', ξγ', 1 «ναύαρχος πεμφθεὶς σὺν τριάκοντα πέντε τριήρεσι Λακεδαιμονίοις *συμμαχήσων*», κτλ. Παρὰ τῷ Ἡροδότῳ κεῖται βιβλ. Ε', 81 «πειρησαμένων δὲ τῶν Θηβαίων *κατὰ τὴν συμμαχίην* τῶν Αἰακιδέων κτέ.», τουτέστιν ἀκολούθως τῇ ὑπεσχημένῃ συμμαχίᾳ τῶν Αἰακιδῶν ἤτοι πεποιθότων τῇ ὑπεσχημένῃ συμμαχίᾳ τῶν Αἰακιδῶν.

Ὑπὸ τοῦ Πλάτωνος εἶνε ἐν τῷ Κρατύλῳ εἰρημένον σελ. 409 α' «ἅλιος οὖν εἴη μὲν ἂν *κατὰ τὸ ἁλίζειν* εἰς ταὐτὸ τοὺς ἀνθρώπους— εἴη δ' ἂν καὶ ΤΩ περὶ τὴν γῆν ἀεὶ ΕΙΛΕΙΝ ἰών, ἐοίκοι δ' ἂν καὶ ὍΤΙ ποικίλλει ἰὼν τὰ γιγνόμενα ἐκ τῆς γῆς· τὸ δὲ ποικίλλειν καὶ αἰολεῖν ταὐτόν». Τὸ *αἰολεῖν* μετετύπωσεν ὁ Κόβητος εἰς τὸ *αἰόλλειν*.

Φέρεται δὲ καὶ παρὰ τῷ Δημοσθένει σελ. 651, 92 «Οἶμαι τοίνυν αὐτὸν κἀκεῖνον ἐρεῖν τὸν λόγον καὶ σφόδρα ταύτῃ ζητήσειν ἐξαπατᾶν ὑμᾶς, ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα· προβούλευμα γάρ ἐστιν, ὁ δὲ νόμος ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα· ὥστε, κἂν αὐτοῦ νῦν ἀποψηφίσησθε, ἥ γε πόλις φλαῦρον οὐδὲν πείσεται *κατὰ τὸ ψήφισμα τοῦτο*». Ὁ Σχαιφῆρος γράφει ἐν *Appar. Crit. et Exeg. ad Demosth.* Τόμ. Δ', σελ. 81 «κατά. Malim παρὰ, *per*, *propter*. Loquendi quidem mos id postulat, in scriptore quidem terso, cuiusmodi est Demosthenes: nam in alio minus emendato tantam diligentiam haud requisivero. Reisk. Tersum scriptorem dedecere praepositionem κατὰ sic usurpatam, seu vertas *quod attinet ad*, seu *secundum*, *ex*, eccui Reiskius persuadebit?». Ὁ Οὐηβῆρος ἐν τῇ ἐκδόσει τοῦ κατ' Ἀριστοκράτους

λόγῳ τοῦ Δημοσθένους σελ. 317 ἀντιλέγει τῷ Ῥεισκίῳ διὰ τῶνδε· «Deinde non debebat Reiskius παρὰ desiderare pro κατά; hoc enim *secundum* significans optimum est, illud h. l. ne graecum quidem, siquidem, quum proprie sit *iuxta* et hinc causae notionem adsciscat, significaret, *dum hoc psephisma valet*, quod abhorret a mente oratoris, cuius potius sententia haec est *dum non valet*». Ὁ Ῥείσκιος δοξάζων ὅτι τοῦ χωρίου ἡ ἔννοια εἶνε «τῇ γε πόλει οὐδενὸς κακοῦ αἴτιον γενήσεται τὸ ψήφισμα τοῦτο» προέκρινε τὴν διὰ τῆς προθέσεως *παρά* ἐκφορὰν «ἡ γε πόλις φλαῦρον οὐδὲν πείσεται *ΠΑΡΑ τὸ ψήφισμα τοῦτο*». Ἀλλ' ἥκιστα μεμπτὸν ἔργον θὰ ἐποίει ὁ Ῥείσκιος, ἂν ἐτήρει μὲν τὴν παραδεδομένην γραφήν, ἐξεδέχετο δὲ τὴν πρόθεσιν *κατά* ἐπ' αἰτιολογικῆς σημασίας (Ἴδε ἃ ἐγράψαμεν ἐν τοῖς ἔμπροσθεν σελ. 287). Νέος Ἕλλην δύναται νὰ εἴπῃ «οὐδὲν κακὸν θὰ πάθῃ *ὡς ἐκ τοῦ ψηφίσματος τούτου*» ἢ «οὐδὲν κακὸν θὰ πάθῃ *ὅσον ἀφορᾷ* (ἢ *ὅσον ἀποβλέπει*) τὸ ψήφισμα τοῦτο». Πρβ. Διόδ. Σικελ. ΙϚ', ξγ', 1 «ἀνὴρ κατὰ μὲν τὴν στρατηγίαν καὶ τὸν ἄλλον βίον ἐπαινούμενος, κατὰ δὲ τὴν πρὸς Φωκεῖς συμμαχίαν μόνην βλασφημούμενος» καὶ Πλούτ. Ἠθικ. σελ. 45 α' «καὶ γὰρ ὁ Πλάτων τὸν Λυσίου λόγον οὔτε κατὰ τὴν εὕρεσιν ἐπαινῶν καὶ τῆς ἀταξίας αἰτιώμενος ὅμως αὐτοῦ τὴν ἀπαγγελίαν ἐπαινεῖ» καὶ Διον. Ἁλικαρν. πρὸς Γναῖ. Πομπή. Ἐπιστ. 1 «οὐδ' ἄν τις ἔχοι κατ' αὐτὸ τοῦτο μέμψασθαί με τὸ μέρος, ὅτι τὸν ἐπιφανέστατον τῶν φιλοσόφων — ἐξετάζειν ἐπεβαλόμην» καὶ Σχολ. Σοφοκλ. σελ. 25, 10 Τευβν. «ἐν μεγίστῳ κακῷ ἐστιν ὁ Αἴας τὸ μὲν κατὰ τὴν νόσον, τὸ δὲ κατὰ τὴν ἀπειλὴν τῶν βασιλέων», κτλ.

Παρατιθέμεθα ἐνθάδε τὰ ὑπὸ τοῦ Ἀσωπίου γεγραμμένα ἐν τῇ Εἰσαγωγῇ εἰς τὴν Ἑλληνικὴν Σύνταξιν σελ. 681, § 37 «Ὡσαύτως καὶ ἄλλων παρασχέσεων· ὡς εἰς τὸ *ἀνὰ ποταμόν*, π.χ. παρατηρεῖται ἡ ἔννοια τοῦ *ἄνω*, οὕτως εἰς τὸ *κατὰ ποταμὸν* ἡ ἔννοια τοῦ *κάτω*· τὸ *κατὰ ποταμὸν* εἶναι καὶ σύμφωνον μὲ τὴν διεύθυνσιν τοῦ ποταμοῦ· ἐκ τούτου ἡ ἰδέα τῆς συμφωνίας ἡ ὁποία, ἐντεῦθεν ὁρμωμένη ἔνθα κυριολεκτικῶς ἁρμόζει, ἐκτάνθη καὶ εἰς ἄλλα ἔνθα μόνον κατ' ἀναλογίαν ἠμπορεῖ νὰ ἁρμόσῃ, ὡς *κατὰ πατέρα*, *κατὰ μητέρα*, *κατὰ νόμον*, κτλ. ἔνθα ὁ νόμος θεωρεῖται ὡς ὑπογραμμὸς ἢ ὡς στάθμη κατὰ τὴν ὁποίαν

ἀντεξετάζονται αἱ πράξεις τοῦ ἀνθρώπου. Ἐκ ταύτης δὲ τῆς παραγώγου σχέσεως παράγεται πάλιν ἄλλη· ὁ συμφώνως, π. χ. μὲ τὸ πάθος του ἐνεργῶν ἐνεργεῖ καὶ διὰ τὸ πάθος του, καὶ ἐκ τούτου ἡ ἰδέα τῆς αἰτιολογίας». Βδελυρώτατον εἶνε τὸ *ἐκτάνθη* ἀντὶ τοῦ *ἐξετάθη*. Πῶς δ' ἐκ τῆς τοπικῆς σημασίας ἀπετελέσθη ἡ τῆς συμφωνίας ἢ ἀκολουθίας καὶ ἐκ ταύτης ἡ τῆς ὁμοιότητος θὰ παραστήσωμεν σαφῶς ἐν ἑτέρῳ τόπῳ.

ΜΕΡΟΣ Ζ'.

Καθ' ἡμέραν.

Πολλάκις γίνεται ὑπὸ τῶν παλαιῶν Ἑλλήνων χρῆσις τοῦ καθ' ἡμέραν, ὃ καὶ ἐν τῇ καθ' ἡμᾶς γλώσσῃ ἐπὶ τῆς αὐτῆς ἐννοίας σύνηθες ὑπάρχει ἰσοδυναμοῦν τῷ Ῥωμαϊκῷ quotidie. Ἐν τῷ ποιητικῷ λόγῳ φέρεται καὶ τὸ κατ' ἦμαρ. Καταλέγομεν παραδείγματα τοῦ τε καθ' ἡμέραν καὶ τοῦ κατ' ἦμαρ.

Αἰσχύλ. Πέρσ. 841 «ψυχὴν διδόντες ἡδονῇ καθ' ἡμέραν».

Σοφοκλ. Ἀποσπ. 329, 3 «ὧν ἐρᾷ καθ' ἡμέραν» καὶ 1019, 4 «προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεί».

Σοφοκλ. Φιλοκτ. 797 «πῶς ἀεὶ καλούμενος οὕτω κατ' ἦμαρ κτἑ.;». Οἰδ. Κολ. 681 «θάλλει — ὁ καλλίβοτρυς κατ' ἦμαρ νάρκισσος».

Εὐριπ. Ἑκάβ. 317 «καθ' ἡμέραν κεἰ σμίκρ' ἔχοιμι». Μηδ. 1020 «παισὶ πόρσυν' οἷα χρὴ καθ' ἡμέραν». Ἀποσπ. 135, 1 «ἤ που τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν» καὶ 286, 9 «τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν» καὶ 714, 2 «σμίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων κτἑ.».

Εὐριπ. Ἑκ. 628 «ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν». Τρῳ. 392 «ἀεὶ κατ' ἦμαρ σὺν δάμαρτι καὶ τέκνοις ᾤκουν».

Θεοδέκτ. Ἀποσπ. 12, 5 «τοσῷδε μείζων γίγνεται καθ' ἡμέραν».

Ἀριστοφ. Ἱππ. 1101 «κριθὰςποριῶ σοι καὶ βίον καθ' ἡμέραν».

Ἀντιφ. Ἀποσπ. 204, 9 Κοκκ. «ὅσ' ἂν καθ' ἡμέραν — εἰσαναλίσκων τύχῃ».

Φιλέτ. Ἀποσπ. 7, 2 «ἡδέως ζῆν τὸν βίον καθ' ἡμέραν».

Ἐπικράτ. Ἀποσπ. 2, 6 «τὸ καθ' ἡμέραν ὁρῶσα πίνειν κἀσθίειν μόνον».

Μένανδρ. Ἀποσπ. 174, 2 «τὸ κακὸν καὶ τἀγαθὸν καθ' ἡμέραν νέμειν ἑκάστῳ» καὶ 301, 2 «οὐ τῶν ἀναγκαίων καθ' ἡμέραν μόνον τιμὴν παρασχεῖν δυνατόν».

Ἱπποκράτ. Τόμ. Α', σελ. 425 «ὁκόσοισι ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίγνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται».

Θουκυδ. Ϛ', 60, 2 «καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερον» καὶ Ζ', 8, 1 «ὁρῶν καθ' ἡμέραν ἐπιδιδοῦσαν τήν τε τῶν πολεμίων ἰσχὺν κτέ.» καὶ 50, 3 «καθ' ἡμέραν τοῖς πᾶσι χαλεπώτερον ἴσχοντα».

Ξενοφ. Οἰκον. Θ', 9 «ὅσοις μὲν τῶν σκευῶν καθ' ἡμέραν χρῶνται οἱ οἰκέται». Κύρ. Παιδ. Γ', γ', 25 «προῆσαν τοσοῦτον καθ' ἡμέραν, ὅσον ἐδόκει αὐτοῖς καλῶς ἔχειν» καὶ Δ', β', 37 «τοῖς δεσπόταις καὶ τοῖς οἰκέταις καθ' ἡμέραν ἐποιεῖτε» καὶ Η', ς', 11 «τὸν καλόν τι ποιοῦντα καθ' ἡμέραν ἐπιγεραίρειν». Ἑλλην. Ϛ', ε', 50 «ἑώρων ἐλάττονα τὴν στρατιὰν καθ' ἡμέραν γιγνομένην». περὶ Ἱππ. Ε', 2 «ἀγαθὸν δὲ καὶ τὸ τετάχθαι τῷ ἱπποκόμῳ καθ' ἡμέραν τὴν κόπρον — ἐκφέρειν».

Λυσ. Ἀπολ. Δωροδ. 3 «καθ' ἡμέραν ὑπὲρ ὑμῶν κινδυνεύων καὶ ἀποδημῶν».

Πλάτ. Πρωτ. σελ. 318 γ' «εἰς ὅ τι βελτίων καθ' ἡμέραν ἔσται συγγιγνόμενος ἐκείνῳ».

Πολύβ. Ϛ', λδ', 8 «παραγίνεται δὲ καθ' ἡμέραν δύνοντος ἡλίου πρὸς τὴν τοῦ χιλιάρχου σκηνήν» καὶ ἀλλαχοῦ (Ἴδε Καιλκῆρον ἐν *Leipz. Stud.* Τόμ. Γ', σελ. 284-5).

Ποσειδών. παρ' Ἀθην. σελ. 540 γ' «ὑποδοχὰς ἐποιεῖτο καθ' ἡμέραν ὀχλικάς».

Πλούτ. Ἀράτ. ΙΖ', 3 «θέας ἐπετέλει καὶ πότους συνῆγε καθ' ἡμέραν». Πρβ. καὶ Ψευδοπλούτ. Ἠθικ. σελ. 177 ς' «τοῦ θεραπεύοντος ἰατροῦ πάντως τι καθ' ἡμέραν αἰτοῦντος».

Διόδ. Σικελ. ΙΔ', ξγ', 1 «τὰ πράγματα καθ' ἡμέραν ἐγίνετο χείρω» (Πρβ. Καιλκῆρον ἐν *Leipz. Stud.* Τόμ. Γ', σελ. 285).

Στράβ. σελ. 813, 17 Μειν. «καθ' ἡμέραν τρόπον τινὰ σαλεύονται καὶ διίστανται» καὶ σελ. 1018, 1 «σίτησιν λαμβανόντων καθ' ἡμέραν πρόβατον» καὶ σελ. 1022, 5 «καθ' ἡμέραν δὲ εἰσιόντες ἐπᾴδουσιν».

Διοσκορίδ. Τόμ. Β', σελ. 65 «αἵ τε δριμυφαγίαι καὶ ἡ τοῦ ἀκράτου πόσις παραλαμβανέσθωσαν καθ' ἡμέραν».

Ματθ. Εὐαγγ. ΚϚ', 55 «καθ' ἡμέραν ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων».

Σχολ. Σοφοκλ. σελ. 434, 10 Τευβν. «ἀλλ' αἰὲν ἐπ' ἤματι: ἀλλ' ἀεὶ καθ' ἡμέραν—ἐπινίσσεται ὁ Κηφισός».

Ἐν ἐπιγραφῇ Δωρικῇ παρὰ Καυήρῳ Ἐκλογ. Ἐπιγρ. Ἑλλην. 47, 111 (σελ. 38 ἐκδ. β') κεῖται «ὅπως—παρέχει ξύλα ξηρὰ καὶ ἱκανὰ τοῖς ἀλειφομένοις κατ' *ἀμέραν* ἀπὸ τετάρτας ὥρας ἕως ἑβδόμας».

Λέγεται καὶ *ὁ καθ' ἡμέραν βίος* (Σοφοκλ. Οἰδ. Κ. 1364. Εὐριπίδ. Ἠλ. 235 καὶ Ἀλκ. 788. Δημοσθέν. σελ. 298, 210), *ἡ τροφὴ ἡ καθ' ἡμέραν* (Ἰσοκράτ. Βουσ. 22), *τροφὴ ἡ καθ' ἡμέραν* (Ἄλεξ. Ἀποσπ. 141, 6. Ψευδοπλ. Ἐπιστ. σελ. 340 δ'), *ἡ καθ' ἡμέραν τροφή* (Φιλήμ. Ἀποσπ. 88, 6), *ἡ καθ' ἡμέραν τρυφή* (Μένανδρ. Ἀποσπ. 554, 1), *αἱ καθ' ἡμέραν δαπάναι* (Αἰσχίν. περὶ Παραπρ. 79), *τὰ καθ' ἡμέραν δαπανήματα* (Φιλήμ. Ἀποσπ. 96, 5), *τὰ συμπόσια τὰ πολλὰ καὶ καθ' ἡμέραν* (Ἄλεξ. Ἀποσπ. 156, 2), *αἱ συνουσίαι αἱ καθ' ἡμέραν* (Ἀνών. Κωμ. Ἀποσπ. 106, 9), *ἡ καθ' ἡμέραν δίαιτα* (Πλάτ. Νόμ. σελ. 762 ε'. Ψευδοπλάτ. Ἐπιστ. σελ. 359 α'. Αἰσχίν. κατὰ Κτησιφ. 170 καὶ 173. Στράβ. σελ. 1023, 13. Πλούτ. Ἠθικ. σελ. 132 β') καὶ δωριστὶ *ἁ καθ' ἁμέραν δίαιτα* (Τίμ. Λοκρ. περὶ Ψυχ. Κόσμ. καὶ Φύσ. σελ. 103 β'), *δίαιτα ἡ καθ' ἡμέραν* (Ψευδοπλάτ. Ἐπιστ. σελ. 340 ε'), *τὸ καθ' ἡμέραν κέρδος* (Πλάτ. Νόμ. σελ. 831 γ'), *ἀλλαγὴ ἡ καθ' ἡμέραν* (Πλάτ. Νόμ. σελ. 742 α'), *τὰ καθ' ἡμέραν ἐπιτήδεια* (Ἰσαῖ. περὶ τοῦ Δικαιογ. Κλήρ. 10), *τὰ καθ' ἡμέραν ἐπιτηδεύματα* (Θουκυδ. Β', 37, 2. Διον. Ἁλικαρν. περὶ Ἰσοκρ. 5), *τὸ καθ' ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον* (Θουκυδ. Γ', 37, 2), *τὰ καθ' ἡμέραν αἰκίσματα* (Λυσ. κατ' Ἀνδοκ. 26), *ἡ καθ' ἡμέραν ἀκρασία τοῦ βίου* (Δημοσθέν. σελ. 23, 18), *τὰ καθ' ἡμέραν ἀναγκαῖα* (Ἰάμβλιχ. περὶ τοῦ Πυθαγ. Βί. 24), *αἱ καθ' ἡμέρην καταστάσιες* (Ἱπποκρ. Τόμ. Α', σελ. 413

Ἑρμ.), *ἀλφαὶ αἱ καθ' ἡμέραν* (Λυκόφρ. 1394). Κατὰ μίμησιν δὲ τοῦ Θουκυδίδου εἰπόντος βιβλ. Α', 2, 2 «*τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς* πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν» ἐλέχθη ὑπὸ τοῦ Ἡλιοδώρου Αἰθ. Ϛ', 10 «*τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς* ῥᾷον εὐπορήσομεν».

Εὑρίσκεται τὸ *καθ' ἡμέραν* καὶ μετὰ μόνου τοῦ ἄρθρου προενηνεγμένον, πληθυντικῶς *τὰ καθ' ἡμέραν* καὶ ἑνικῶς *τὸ καθ' ἡμέραν* ἢ ποιητικῶς *τὸ κατ' ἦμαρ — τὸ κατ' ἆμαρ*, οἷον

Ἄλεξ. Ἀποσπ. 220, 9 «τὰ δὲ καθ' ἡμέραν τάδε». Μένανδρ. Ἀποσπ. 325, 13 «ὅταν λυπῇ τι τῶν καθ' ἡμέραν». Ξενοφ. Ἱέρ. Δ', 9 «ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν». Ἰσοκράτ. Βουσ. 20 «καὶ δι' ἔνδειαν τῶν καθ' ἡμέραν καὶ διὰ τὸν πόλεμον τὸν πρὸς ἡμᾶς αὐτούς» καὶ 39 «οἱ μὲν αὐτῶν ἀλῆται καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς κατέστησαν». Ἴδε καὶ Βλαϋδέσιον εἰς *Σοφοκλ. Φιλοκτ.* σελ. 226.

Ἀριστοφάν. Ἱππ. 1126 «ἥδομαι βρύλλων τὸ καθ' ἡμέραν». Θουκυδ. Γ', 82, 2 «ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν». Ἰσοκράτ. Παναθην. 179 «ὥστ' ἐπιπόνως ἐργαζομένους μόλις ἔχειν τὸ καθ' ἡμέραν». Πλάτ. Πολιτ. σελ. 561 γ' «διαζῇ τὸ καθ' ἡμέραν οὕτω χαριζόμενος τῇ προσπιπτούσῃ ἐπιθυμίᾳ» καὶ Φαίδρ. σελ. 240 β' «οἷς τό γε καθ' ἡμέραν ἡδίστοισιν εἶναι ὑπάρχει» καὶ Τιμ. σελ. 83 ε' «ὅσα — τοιαῦτα σῶμα τὸ καθ' ἡμέραν χεῖται καθαιρόμενον». Ψευδοπλάτ. Ἐπιστ. σελ. 331 β' «ἂν μέν μοι τὸ καθ' ἡμέραν ἔν τινι τρόπῳ δοκῇ ζῆν». Πολύβ. Δ', ιη', 2 «ποιεῖσθαι δὲ καὶ τὸ καθ' ἡμέραν τὴν δίαιταν ἐπὶ τῶν πυλώνων». Ἰώσ. Ἰουδ. Ἀρχ. ΙΘ', α', 6 «μιαινόμενοι τὸ καθ' ἡμέραν αἵματι σφαγῆς καὶ βασάνου τῆς ἐκείνων». Ὁ Νίσιος ἐν τῇ ἐκδόσει τοῦ Ἰωσήπου Τόμ. Δ', σελ. 218, 10 ἔγραψε «μιαινόμενοι τῷ καθ' ἡμέραν αἵματι κτέ.», ὅπερ ἥκιστ' ἐπαινετὸν ἡμῖν φαίνεται.

Σοφοκλ. Φιλοκτ. 1089 «τίπτ' αὖ μοι τὸ κατ' ἆμαρ ἔσται;» καὶ Ἀποσπ. 536, 1 «τὸ κατ' ἦμαρ ὅπως ἥδιστα πορσύνων». Εὐριπ. Ἠλ. 145 «οἷς ἀεὶ τὸ κατ' ἆμαρ διέπομαι» καὶ 181 «δακρύων δέ μοι μέλει δειλαίᾳ τὸ κατ' ἆμαρ» καὶ Ἴων. 123 «λατρεύων τὸ κατ' ἆμαρ».

Ὁ Ἄστιος γράφει ἐν τῷ Πλατωνικῷ Λεξικῷ Τόμ. Β', σελ. 32 «Cum artic. et praepos. κατὰ significat id quod *quotidianum* vel *diurnum* est, etiam *quod in diem* (h. e. in momentum) *durat*» καὶ ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Ι', σελ. 328 «*Τό γε καθ' ἡμέραν* est Latinorum *in diem*, quod non semper valet *quotidie*, sed *ad tempus* (nostrum *momentan* s. *auf Kurze Zeit*, *vorübergehend*, *für den Augenblick*)».

Προστίθεται δὲ πολλάκις τῇ αἰτιατικῇ *ἡμέραν* ἡ ἀντωνυμία *ἑκάστην*, οἷον *καθ' ἡμέραν ἑκάστην* ἢ *καθ' ἑκάστην ἡμέραν* καὶ μετὰ τοῦ ἄνθρου *καθ' ἑκάστην τὴν ἡμέραν* ἢ *κατὰ τὴν ἡμέραν ἑκάστην*.

Ἱπποκράτ. Τόμ. Α', σελ. 183 «ἐπαναδιδοῖ δὲ καὶ παροξύνεται καθ' ἡμέρην ἑκάστην». Θουκυδ. Β', 85, 4 «ὡς καθ' ἡμέραν ἑκάστην ἐλπίδος οὔσης ἀεὶ ναυμαχήσειν». Ἀλεξ. Ἀποσπ. 200, 6 «ὅλας δ' ἀφαιροῦνται καθ' ἑκάστην ἡμέραν». Λυσ. κατὰ Σιτοπ. 20 «μᾶλλον αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν» καὶ κατ' Ἐργοκλ. 7 «ἐν τοῖς δεινοτάτοις κινδύνοις καθ' ἑκάστην ἡμέραν ἔσεσθε» καὶ κατὰ Νικομ. 2 «καθ' ἑκάστην δ' ἡμέραν ἀργύριον λαμβάνων τοὺς μὲν ἐνέγραφε, τοὺς δ' ἐξήλειφε» καὶ Ἀποσπ. 53, 4 Κοβ. «καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντα μὴ δύνασθαι τελευτῆσαι τὸν βίον». Ξενοφ. περὶ Ἱππ. Ε', 9 «βλάπτει δὲ τὰς ὁπλὰς ἡ καθ' ἑκάστην ἡμέραν βρέξις» καὶ Ἀπομν. Δ', Ϛ', 12 «οὐκ ὀλίγα ἔστι καθ' ἑκάστην ἡμέραν τοιαῦτα ὁρᾶν τε καὶ ἀκούειν» καὶ Ἑλλην. Β', α', 27 «ὅπερ ἐποίουν πολὺ μᾶλλον καθ' ἑκάστην ἡμέραν». Αἰσχίν. κατὰ Κτησιφ. 165 «αὕτη δὲ ἐπολιορκεῖτο καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι». Λυκοῦργ. κατὰ Λεωκράτ. 126 «ὑπόμνημα τοῖς καθ' ἑκάστην ἡμέραν συνιοῦσι». Θεόπομπ. παρ' Ἀθην. σελ. 260 γ' «καθ' ἑκάστην ἡμέραν μεθυσκόμενος». Ἀριστοτ. Ἀθην. Πολιτ. Λ' «ἕνα κληροῦσθαι καθ' ἑκάστην ἡμέραν τὸν ἐπιψηφιοῦντα». Πρβ. Πλάτ. Πολιτικ. σελ. 270 ε' «τῶν δὲ ἡβώντων τὰ σώματα λεαινόμενα καὶ σμικρότερα *καθ' ἡμέραν καὶ νύκτα ἑκάστην* γιγνόμενα» καὶ Στράβ. σελ. 56, 14 «δὶς τῆς παλιρροίας γινομένης *καθ' ἑκάστην ἡμέραν καὶ νύκτα*». Παραδείγματα τοῦ *καθ' ἑκάστην ἡμέραν* ἐκ τοῦ μεταγενεστέρου ἑλληνισμοῦ ἐμνημόνευσεν ὁ Σχαιφῆρος ἐν τῇ ἐκδόσει τοῦ περὶ Ἐλλείψεων συγγράμματος τοῦ Βοσίου σελ. 139. Πρβ. καὶ

Ἰώσηπ. Τόμ. Α', σελ. 205, 20 καὶ Φίλων Ἰουδ. Τόμ. Ϛ', σελ. 107 καὶ Σχολ. Σοφοκλ. σελ. 270, 18 καὶ σελ. 444, 23 Τευβν., κτλ. Ἴδε καὶ Μειστεράνσιον ἐν *Γραμματ. τῶν Ἀττ. Ἐπιγρ.* σελ. 192, 1562 ἐκδ. β'.

Ἰσοκράτ. Πλαταϊκ. 55 «ἄπολιν γενόμενον καθ' ἑκάστην τὴν ἡμέραν κακοπαθεῖν» καὶ Εὐαγόρ. 43 «περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων». Ἀριστοτ. Ἀθην. Πολ. ΚΖ' «ἐξῆν γὰρ τῷ βουλομένῳ Λακιαδῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐλθόντι παρ' αὐτὸν ἔχειν τὰ μέτρια». Κλημ. Ἀλεξανδρ. σελ. 70 «τὸ δὲ σήμερον καθ' ἑκάστην αὐτοῦ αὔξεται τὴν ἡμέραν». Ἰω. Χρυσόστ. Ὁμιλ. εἰς εἰς Ματθ. σελ. 517 δ' «σοὶ δὲ καθ' ἑκάστην, ὡς εἰπεῖν, τὴν ἡμέραν διὰ τούτων τῶν μυστηρίων». Δημοσθέν. σελ. 247, 68 «κατὰ τὴν ἡμέραν ἑκάστην — τῆς τῶν προγόνων ἀρετῆς ὑπομνήμαθ' ὁρῶσι» καὶ σελ. 310, 249 «τοὺς πρώτους χρόνους κατὰ τὴν ἡμέραν ἑκάστην ἐκρινόμην ἐγώ». Θουκυδ. Ϛ', 63, 2 «κατά τε τὴν ἡμέραν ἑκάστην προϊοῦσαν ἀνεθάρσουν μᾶλλον». Πρβ. Ἀριστοφ. Πλοῦτ. 1031 «οὔκουν *καθ' ἑκάστην* ἀπεδίδου *ΤΗΝ νύκτα* σοι;» καὶ Αἰσχίν. κατὰ Κτησιφ. 25 «ὃς *καθ' ἑκάστην πρυτανείαν* ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ» καὶ Ἀριστοτ. Ἀθην. Πολ. ΜΖ' «οὓς δεῖ *κατὰ πρυτανείαν ἑκάστην* καταβάλλειν» καὶ ΜΗ' «τοὺς λογιουμένους ταῖς ἀρχαῖς *κατὰ ΤΗΝ πρυτανείαν ἑκάστην*» καὶ ΞΑ' «ἐπιχειροτονία δ' αὐτῶν ἐστι *κατὰ ΤΗΝ πρυτανείαν ἑκάστην*»· ἔτι δὲ ΜΖ' «γραμματεῖον *κατὰ ΤΗΝ καταβολὴν ἑκάστην* ποιήσαντες» καὶ ΞΓ' «βακτηρίαι παρατίθενται *κατὰ ΤΗΝ εἴσοδον ἑκάστην*». Ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου κεῖται σελ. 277 α' «πολλῶν δ' ὄντων τῶν ἰχθύων, οὓς *κατὰ ΤΑΣ ἑκάστας ὥρας* ἐνδαινύμεθα» ἀντὶ τοῦ *κατὰ ΤΑΣ ὥρας ἑκάστας*.

Ὁ Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τοῦ Ἰσοκράτους περὶ τῶν ἐν τοῖς ἄνω παρατεθειμένων ἐξ αὐτοῦ χωρίων Τόμ. Β', σελ. 152 «Κατὰ τὴν ἡμέραν ἑκάστην: Διὰ τὴν ἀσυνήθη χρῆσιν τοῦ ἄρθρου ἐν τοῖς τοιούτοις, γράφειν οὐκ ἀλόγως δεῖν οἴεται Οὐόλφιος, Καθ' ἑκάστην ἡμέραν» καὶ σελ. 230 «Καθ' ἑκάστην * τὴν * ἡμέραν: Ἀστερίσκοις διαλαβεῖν ᾠήθην δεῖν τὸ ἄρθρον, ὡς περιττόν. εἰκὸς γὰρ ἐκ τῆς τελευταίας τοῦ Ἑκάστην γεννηθῆναι, καθάπερ καὶ ἐν τοῖς πρόσθεν (σελ.

194) διττῇ ἐντυγχάνομεν γραφῇ, Καθ' ἕκαστον ἐνιαυτόν, καί, Καθ' ἕκαστον τὸν ἐνιαυτόν. Εὕρηται δὲ καὶ ἐν ἄλλοις τισὶν ὀλίγοις πάνυ Ἰσοκράτους χωρίοις ἡ ἔναρθρος αὕτη γραφὴ, μακρῷ πλειόνων οὐσῶν τῶν ἀνάρθρων» (Πρβ. καὶ σελ. 142). Ἡ ὑπὸ τοῦ ἀοιδίμου ἀνδρὸς ἀποδοκιμαζομένη ἐκφορὰ ἀπαντᾷ πολλάκις παρὰ τῷ Ἰσοκράτει ἐν ἄλλοις μὲν τόποις κατὰ τὴν κοινὴν γραφήν, ἐν ἄλλοις δὲ κατὰ τὴν ἐν ταῖς νέαις ἐκδόσεσιν εὐλόγως ἐγκεκριμένην, οἷον

Β', 2 «περὶ τοῦ βίου καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν» καὶ 11 «περὶ ὧν ὑμεῖς καθ' ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν».

Δ', 78 «περὶ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων» καὶ 128 «ἐπὶ μὲν τοὺς Ἕλληνας καθ' ἑκάστην τὴν ἡμέραν στρατευομένους».

ς', 65 «ὀλίγου δεῖν καθ' ἑκάστην τὴν ἡμέραν γιγνομένας» καὶ 79 «τοὺς δ' αὐτῶν ὁρῶσι καθ' ἑκάστην τὴν ἡμέραν τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας».

Ζ', 40 «ἐκ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων» καὶ 69 «τοὺς — ὀλίγου δεῖν καθ' ἑκάστην τὴν ἡμέραν προστάττοντας ἡμῖν».

Η', 20 «καθ' ἑκάστην δὲ τὴν ἡμέραν πρὸς εὐπορίαν ἐπιδώσομεν».

Ι', 56 «τῷ ποιεῖν ἡμᾶς εὖ καθ' ἑκάστην τὴν ἡμέραν».

ΙΒ', 211 «ἐκεῖνοι γὰρ καθ' ἑκάστην τὴν ἡμέραν εὐθὺς ἐξ εὐνῆς ἐκπέμπουσι τοὺς παῖδας».

ΙΘ', 30 «πυνθανομένη δὲ καθ' ἑκάστην τὴν ἡμέραν ὡς διέκειτο».

Ἐπιστ. Ε', 4 «περὶ τὰς πράξεις τὰς προσπιπτούσας καθ' ἑκάστην τὴν ἡμέραν» καὶ ς', 9 «τότ' ἤδη τὰς πράξεις τὰς καθ' ἑκάστην τὴν ἡμέραν σκεπτέον».

(Ἴδε Βαιτῆρον εἰς *Ἰσοκρ. Πανηγυρ.* σελ. 23. Πρβ. καὶ Βενσελῆρον εἰς *Ἰσοκρ. Ἀρεοπαγ.* σελ. 252 καὶ 350). Ἐν ταῖς εἰς Ματθαῖον Ὁμιλίαις Ἰωάννου τοῦ Χρυσοστόμου φέρεται σελ. 769 ε' «*καθ' ἑκάστην ἡμέραν* συνῆν ἐκεῖνος τῷ μὴ ἔχοντι ποῦ τὴν κεφαλὴν κλῖναι (κλίνῃ) καὶ *καθ' ἑκάστην* ἐπαιδεύετο *ΤΗΝ ἡμέραν* δι' ἔργων, κτέ.». Παρατηρήσεως ἄξιον εἶνε ὅτι ἔκειτο ἄλλοτε παρὰ τῷ Ἰσοκράτει Λόγ. Γ', 22 «οὐ μόνον δ' ἐν τοῖς ἐγκυκλίοις καὶ τοῖς *καθ' ἡμέραν* γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν ἀλλὰ καὶ κτέ.», ἀνθ' οὗ ὁ Κοραῆς ἐξέδωκεν ἐκ τοῦ Στοβαίου παραλαβὼν «τοῖς

καθ' *ἡμέραν ἑκάστην* γιγνομένοις»· ἔγραψε δ' ἐν ταῖς Σημειώσεσι (σελ. 26) τάδε· «Καθ' ἡμέραν ἑκάστην: Ἡ γραφὴ ἐκ τοῦ Στοβαίου (σελ. 323), ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Καθ' ἡμέραν, ἀνθ' οὗ ἔν τισι τῶν ἀντιγράφων φέρεται, Κατὰ τὴν ἡμέραν ἑκάστην, καθὰ καὶ ἐν τῷ Εὐαγόρᾳ (σελ. 197)». Ἡ γνησία γραφὴ εἶνε *κατὰ ΤΗΝ ἡμέραν ἑκάστην*, ἣν βλέπει τις καὶ ἐν Λόγ. Β', 9 «τὰ συμπίπτοντα κατὰ ΤΗΝ ἡμέραν ἑκάστην» καὶ Λογ. Η', 129 «τῶν κατὰ ΤΗΝ ἡμέραν ἑκάστην ἀναγκαίων» καὶ Λόγ. ΙΒ', 30 «τοῖς πράγμασι τοῖς κατὰ ΤΗΝ ἡμέραν ἑκάστην προσπίπτουσι» (Πρβ. Βαιτῆρον εἰς *Ἰσοκράτ. Πανηγυρ.* σελ. 23). Σημειωτέον δ' ὅτι ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τοῦ Ἀριστοφάνους Πλούτου σελ. 110 καὶ 415 ἀπαρεσκόμενος τῇ μετὰ τοῦ ἄρθρου προενηνεγμένῃ αἰτιατικῇ «καθ' ἑκάστην ἀπεδίδου ΤΗΝ νύκτα» εἴκασε «καθ' ἑκάστην *δῆτ'* ἀπεδίδου νύκτα» ἢ «καθ' ἑκάστην ἀπεδίδου *τι* νύκτα». Ἡ παραδεδομένη γραφὴ ἔχει ὑγιέστατα.

Ἡ ἐκφορὰ *καθ' ἑκάστην ἡμέραν*, παραλειπομένου τοῦ ὀνόματος, γίνεται *καθ' ἑκάστην*. Γρηγόριος ὁ Κορίνθου λέγει ἐν τῷ περὶ Διαλέκτων σελ. 33 Σχαιφ. «Ἁπλῶς δὲ αἱ ἐλλείψεις τῶν Ἀττικῶν μὲν ἴδιαι, οἷον *καθ' ἑκάστην*· λείπει γὰρ *ἡμέραν*· ἐν βραχεῖ· λείπει γὰρ καιρῷ ἢ λόγῳ». Ἴδε καὶ Σχαιφῆρον ἐν τῇ ἐκδόσει τοῦ περὶ Ἐλλείψεως συγγράμματος τοῦ Βοσίου σελ. 139 καὶ 179. Ἐν τῷ Λεξικῷ τοῦ Σουΐδα φέρεται «*Καθ' ἑκάστην*. Καθέκαστα δὲ ἐπίρρημα». Πρβ. καὶ «*Ἀν' ἑκάστην*: καθ' ἑκάστην. Ὅτι Φαμέας τις Καρχηδόνιος δεινὰ διατίθησι Ῥωμαίους ἀν' ἑκάστην· ἡμέραν».

Ὁμοίας ἐννοίας τῷ *καθ' ἡμέραν* ἢ *καθ' ἑκάστην ἡμέραν* ἔχεται τὸ *ἑκάστης ἡμέρας*. Ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου κεῖται σελ. 246 γ' «Ὁ δ' αὐτὸς παράσιτον ἀκούσας ὑπὸ γραίας τρεφόμενον συγγινόμενόν τε αὐτῇ *ἑκάστης ἡμέρας*.

νῦν πάντα, φασί, γίγνεθ'· ἡ μὲν γὰρ οὐ κύει (κυεῖ),
ἐν γαστρὶ δ' οὗτος λαμβάνει καθ' ἡμέραν».

Ὁ Γαληνὸς λέγει Τόμ. Ζ', σελ. 354-5 «πρὸς τὸν *καθ' ἡμέραν* παροξυνόμενον» καὶ «τὸν *καθ' ἑκάστην ἡμέραν* παροξυνόμενον» καὶ «ὁ μὲν *ἑκάστης ἡμέρας* παροξυνόμενος».

Ὁ Σοφοκλῆς ἐποιήσατο χρῆσιν τοῦ *κατ' ἦμαρ* (*κατ' ἆμαρ*) πρὸς δήλωσιν τοῦ *κατὰ τὴν ἡμέραν τήνδε ἢ κατὰ τὴν ἡμέραν τὴν νῦν* ἐν Οἰδ. Κ. 1079 «τελεῖ, τελεῖ Ζεύς τι κατ' ἆμαρ». Εἶνε δ' εἰρημένον ὑπὸ τοῦ Σοφοκλέους καὶ *καθ' ἡμέραν τὴν νῦν* ἔν τε τῷ δράματι τούτῳ στίχ. 3 καὶ ἐν τῷ Αἴαντι στίχ. 801. Πρβ. καὶ στίχ. 753 «εἶρξαι *κατ' ἦμαρ* τοὐμφανὲς *τὸ νῦν τόδε*». Ἐν τῇ Ἀντιγόνῃ στίχ. 170 φέρεται «*μίαν καθ' ἡμέραν* ὤλοντο» καὶ ἐν τῷ Ἀγαμέμνονι τοῦ Αἰσχύλου στίχ. 668 «*λευκὸν κατ' ἦμαρ* — ἐβουκολοῦμεν φροντίσιν νέον πάθος». Ἀπαντᾷ δὲ παρὰ τῷ Σοφοκλεῖ καὶ «ἀγὼ *κατ' ἦμαρ καὶ κατ' εὐφρόνην* ἀεὶ θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ (Ἠλ. 259), ᾧ παραβλητέον τὸ ὑπὸ τοῦ Αἰσχύλου λεχθὲν «σέβας ἀστῶν φόβος τε συγγενὴς τὸ μὴ ἀδικεῖν σχήσει *τό τ' ἦμαρ καὶ κατ' εὐφρόνην* ὁμῶς» (Εὐμεν. 695). Πρβ. Βλαϋδέσιον εἰς *Σοφοκλ. Ἠλέκτρ.* σελ. 56. Ἐν τοῖς εἰς Σοφοκλέα Σχολίοις φέρεται σελ. 77, 15 Τευβν. «πάννυχα καὶ φαέθοντ': *κατὰ νύκτα καὶ ἡμέραν*».

Ἀνδρέας ὁ Λοπαδιώτης γράφει (Λεξ. Βινδ.) σελ. 120, 1 «*Λουόμενος τῆς ἡμέρας πολλάκις*: ἀντὶ τοῦ *καθ' ἡμέραν πολλάκις*». Πρβ. καὶ σελ. 56, 13 «*Εἰργάσατο τῆς ἡμέρας πολλάκις*: τῶν Ἀττικῶν ἐστιν». Ἐν τῇ ἐκφορᾷ *τῆς ἡμέρας πολλάκις ἢ πολλάκις τῆς ἡμέρας*, ἧς φέρομεν μαρτύριον ἐκ τοῦ Ἀριστοφάνους τὸ «καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας» (Ἱππ. 250), ἡ γενικὴ *τῆς ἡμέρας* δὲν κεῖται ἐπὶ χρονικῆς σχέσεως ἀλλὰ κρέμαται ἐκ τοῦ ἐπιρρήματος *πολλάκις*. Κατὰ αὐτὸν τρόπον λέγεται *ἅπαξ τῆς ἡμέρας*, *δὶς τῆς ἡμέρας*, κτλ., *πεντάκις τῆς ἡμέρας*, κτλ., *τρὶς τῆς βραχείας ἡμέρας*, ὡς καὶ *ἅπαξ τοῦ ἐνιαυτοῦ*, *δὶς τοῦ ἔτους*, κτλ., *τετράκις τοῦ μηνός*, κτλ., *τετράκις τῆς πρυτανείας*, κτλ. Παντὶ γνωστὸς ὑπάρχει ὁ Αἰσώπειος μῦθος «Γυνή τις χήρα ὄρνιν εἶχε καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, *δὶς* τέξεται *τῆς ἡμέρας*, τοῦτο πεποίηκεν. Ἡ δ' ὄρνις πιμελὴς γενομένη οὐδ' *ἅπαξ τῆς ἡμέρας* τεκεῖν ἠδύνατο». Ἐρρήθη καὶ *μανάκις τῆς ἡμέρας* ὑπὸ τοῦ κωμικοῦ Πλάτωνος Ἀποσπ. 200 Κοκκ. Σημειωτέον δ' ὅτι παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ φέρεται σελ. 282 «πολλάκις ἡμέρας λούεσθαι». Ἀλλ' ὁ Συλβούργιος ἔγραψε «πολλάκις ΤΗΣ ἡμέρας λούεσθαι», ὡς καὶ ὁ Κόβητος ἐν *Λογ. Ἑρμ.* Τόμ. Α', σελ. 487.

Ἣν δύναμιν ἔχει ἡ πρόθεσις *κατά* ἐν τῷ *καθ' ἡμέραν*, τὴν αὐτὴν ἔχει καὶ ἐν τῷ *κατ' ἔτος* ἢ *κατ' ἐνιαυτόν*, ὃ ἐμφαίνει τὸ παρὰ τοῖς Λατίνοις διὰ τοῦ *quotannis* σημαινόμενον. Λέγεται δ' ὁμοίως καὶ *κατὰ μῆνα*.

κατ' ἔτος (*κατὰ ἔτος*). Θουκυδ. Δ', 53, 2 «Κυθηροδίκης ἀρχὴ ἐκ τῆς Σπάρτης διέβαινεν αὐτόσε κατὰ ἔτος». Ἀνθολ. Παλατ. ΙΔ', 42, 2 «κατ' ἔτος τίκτω παρθένος οὖσα γυνή». Ἀπολλόδ. Β', δ', 11, 4 «ὅπως πέμπωσιν αὐτῷ Θηβαῖοι ἐπὶ εἴκοσιν ἔτη κατὰ ἔτος ἑκατὸν βόας» καὶ ε', 11, 8 «ἐὰν ξένον ἄνδρα τῷ Διὶ σφάξωσι κατ' ἔτος» (καὶ Γ', ιε', 9, 3 «κατὰ ἔτος Ἀθηναῖοι κούρους ἑπτὰ καὶ κόρας τὰς ἴσας τῷ Μινωταύρῳ βορὰν ἔπεμπον»). Διόδ. Σικελ. Γ', ϐ', 3 «τὰς θυσίας τὰς ἀπονεμομένας αὐτοῖς κατ' ἔτος». Στράϐ. σελ. 310, 23 «ἣ συντελεῖται κατ' ἔτος». Δί. Κάσσ. ΜΔ', ν', 1 «ὑπὲρ οὗ δημοσίᾳ κατ' ἔτος εὔχεσθαι ἐψηφίσαντο». Ἀλκίφρ. Ἐπιστ. Β', α', 3 «τὰ Ἀφροδίσια ποιῶ ταῦτα κατ' ἔτος» καὶ γ', 10 «τῶν κατ' ἔτος Χοῶν». Συλλ. Ἐπιγρ. Ἑλλην. Διττεμϐεργ. 247, 38 (σελ. 362) «τίθεσθαι αὐτῷ ἀγῶνα ἱππικὸν καθ' ἔτος ἐν τῷ Δαισίῳ μηνί». Συναγ. Ἐπιγρ. Ἑλλην. Βοικκ. 3094, 11 (Τόμ. Β', σελ. 681) «ἐπὶ τῷ δίδοσθαι καθ' ἔτος διανομὴν τῇ βουλῇ». Εὑρέθη δ' ἐν ἐπιγραφῇ καὶ «ἐν τῷ καθ' ἔτος ἐνιαυτῷ» καὶ «εἰς μὲν τὸν καθ' ἔτος ἐνιαυτόν», περὶ οὗ ἐποιήσατο λόγον ὁ Βοίκκιος ἐν τῇ Συναγωγῇ τῶν Ἑλληνικῶν Ἐπιγραφῶν Τόμ. Β', σελ. 1133. Σημειωτέον δ' ὅτι τῷ παρὰ τῷ Πλάτωνι φερομένῳ Φαίδ. σελ. 58 α «ἔτυχε γὰρ — ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι *πέμπουσιν*» πρόσκειται ἐν τῷ μετωπίῳ τοῦ Βοδληϊανοῦ κώδικος ὑπὸ νεωτέρας χειρὸς τὸ *κατ' ἔτος*, ὃ πάντως ἀπόϐλητον. Ἄνευ τῆς προσθήκης ταύτης εἶνε προενηνεγμένη ἡ Πλατωνικὴ ῥῆσις ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 572 γ'. Ἴδε καὶ Ἄστιον εἰς *Πλάτ.* Τόμ. ΙΑ', σελ. 487.

κατ' ἐνιαυτόν. Ἀναξίλ. Ἀποσπ. 27 «ἡ μουσικὴ δ' ὥσπερ Λιϐύη — ἀεί τι καινὸν κατ' ἐνιαυτὸν θηρίον τίκτει» (Πρϐ. καὶ Δίφιλ. Ἀποσπ. 38, 5). Θουκυδ. Β', 13, 3 «προσιόντων μὲν ἑξακισχιλίων ταλάντων — φόρου κατ' ἐνιαυτόν» καὶ Ε', 18, 9 «τὸν δὲ ὅρκον ἀνανεοῦσθαι κατ' ἐνιαυτὸν ἀμφοτέρους». Πλάτ. Πολιτικ. σελ. 298 ε' «κατ' ἐνιαυτὸν δέ γ' ἄρχοντας καθίστασθαι τοῦ πλήθους» καὶ

Κριτί. σελ. 111 γ' «καὶ δὴ καὶ τὸ κατ' ἐνιαυτὸν ὕδωρ ἐκαρποῦτο ἐκ Διός» καὶ Νόμ. σελ. 924 γ' «τῶν νομοφυλάκων οἱ πρεσβύτατοι πάντων ἐπιμελείσθων ἀεὶ κατὰ πρέσβιν καὶ κατὰ τρεῖς διελόμενοι σφᾶς αὐτοὺς κατ' ἐνιαυτὸν τρεῖς καὶ κατ' ἐνιαυτὸν ἄλλον ἕτεροι τρεῖς» καὶ σελ. 958 α' «ἐπειδὰν δὲ αἱ κατ' ἐνιαυτὸν δίκαι τέλος ἐκδικασθεῖσαι σχῶσι». Ξενοφ. 'Αναβ. Γ', Ϛ', 12 «ἔδοξεν αὐτοῖς κατ' ἐνιαυτὸν πεντακοσίας θύειν» καὶ Ζ', α', 27 «προσόδου οὔσης κατ' ἐνιαυτὸν — οὐ μεῖον χιλίων ταλάντων» καὶ Κύρ. Παιδ. Η', ϛ', 16 «ἐφοδεύει γὰρ ἀνὴρ κατ' ἐνιαυτὸν ἀεὶ στράτευμα ἔχων» καὶ 'Ελλην. Ϛ', α', 3 «καὶ τἆλλα διοικῶν ἀπελογίζετο κατ' ἐνιαυτόν» καὶ Οἰκονομ. Δ', 6 «βασιλεὺς δὲ κατ' ἐνιαυτὸν ἐξέτασιν ποιεῖται τῶν μισθοφόρων» καὶ Πόρ. Γ', 10 «πλείονα λήψονται κατ' ἐνιαυτόν» καὶ Δ', 39 «εἰ μὴ πλείονας ἀνθρώπους ἢ ὅσους αὐτὰ τὰ ἔργα προσαιτοίη κατ' ἐνιαυτὸν ἐμβάλλοιμεν». 'Αριστοτ. 'Αθην. Πολιτ. Γ', «ἤδη κατ' ἐνιαυτὸν αἱρουμένων τὰς ἀρχάς» καὶ Λ' «βουλεύειν μὲν κατ' ἐνιαυτὸν τοὺς ὑπὲρ τριάκοντα ἔτη γεγονότας» καὶ ΝΔ' «τοὺς κατ' ἐνιαυτὸν καλουμένους». Πολυβ. Α', ιϛ', 2 «ἃ κατ' ἐνιαυτὸν προχειρίζονται» καὶ Δ', κ', 9 «χορεύουσι κατ' ἐνιαυτὸν — ἐν τοῖς θεάτροις» (Ἴδε Καιλκῆρον ἐν *Leipz. Stud.* Τόμ. Γ', σελ. 285). 'Απολλόδ. Α', ζ', 4, 5 «οὗτοι κατ' ἐνιαυτὸν ηὔξανον πλάτος μὲν πηχυιαῖον, μῆκος δὲ ὀργυιαῖον». 'Επιγρ. ἐν Mitteil. Inst. Athen 1884, σελ. 31 «ἐν τοῖς κατ' ἐνιαυτὸν τιθεμένοις εὐχαριστηρίοις ἀγῶσιν». Συναγ. 'Επιγρ. 'Ελλην. Βοικκ. 3068, Β', 22 (Τόμ. Β', σελ. 662) «ἐπιμελεῖσθαι τοὺς ἄρχοντας τοὺς κατ' ἐνιαυτὸν αἱρουμένους» καὶ 2448, Ϛ', 25 (Τόμ. Β', σελ. 366) «ὁ δὲ αἱρεθεὶς συναγέτω σύλλογον καθ' ἐνιαυτὸν ἐν τᾷ δευτέρᾳ ἁμέρᾳ». Πρβ. καὶ Σχολ. Σοφοκλ. σελ. 325, 21 Τευβν. «ἀπὸ τοῦ ἅπαξ κατ' ἐνιαυτὸν ἀροῦν» καὶ σελ. 446,11 «τὴν μύησιν τὴν συντελουμένην κατ' ἐνιαυτὸν ἐν 'Ελευσῖνι». Παρὰ τῷ Θουκυδίδῃ ἀπαντᾷ βιβλ. Α', 93, 3 «ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς, ἧς κατ' ἐνιαυτὸν 'Αθηναίοις ἦρξε», ποιεῖται δὲ περὶ αὐτοῦ ὁ Πόππος τὴν παρατήρησιν τήνδε· «*κατ' ἐνιαυτόν* verba aut insolentius dicta sunt pro κατά τινα ἐνιαυτόν, ἐνιαυτὸν ἕνα, quibus explicat Schol., aut cum ἀρχῆς ἧς ita cohaerent, ut ἀρχὴ κατ' ἐνιαυτὸν οὖσα sit ἐνιαυσία VI 59». 'Η παρατήρησις

αὕτη εἶνε μεταβεβλημένη ὑπὸ τοῦ Σταλλίου ὧδε· «*κατ' ἐνιαυτόν* verba NON insolentius dicta sunt pro κατά τινα ἐνιαυτόν, ἐνιαυτὸν ἕνα, quibus explicat schol., SED cum ἀρχῆς ἧς etc.».

κατὰ μῆνα. Ἀριστοφ. Νεφ. 1287 «τί δ' ἄλλο γ' ἢ κατὰ μῆνα καὶ καθ' ἡμέραν πλέον πλέον τἀργύριον ἀεὶ γίγνεται; » καὶ 756 «ὁτιὴ κατὰ μῆνα τἀργύριον δανείζεται» καὶ Πλούτ. 596 «τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν». Λυσ. κατὰ Διογείτ. 20 «οὐκ ἦν αὐτῷ κατὰ μῆνα οὐδὲ κατ' ἐνιαυτὸν γεγραμμένα». Πλάτ. Πολιτ. σελ. 359 ε' «ἵν' ἐξαγγέλλοιεν κατὰ μῆνα τῷ βασιλεῖ τὰ περὶ τὰ ποίμνια» καὶ Νόμ. σελ. 760 γ' «τούτοις δὲ διακληρωθήτω τὰ μόρια τῆς χώρας κατὰ μῆνα ἕκαστα ἑκάστοις». Ξενοφ. Οἰκον. Θ', 8 «χωρὶς δὲ καὶ τὰ κατὰ μῆνα δαπανώμενα ἀφείλομεν» καὶ Λακεδ. Πολιτ. ΙΕ', 7 «ὅρκους δὲ ἀλλήλοις κατὰ μῆνα ποιοῦνται». Δημοσθέν. σελ. 1209, 10 «τοὺς μισθοὺς οὓς — κατὰ μῆνα ἐδίδουν». Ἀριστοτ. περὶ τὰ Ζῷ. Ἱστορ. Ϛ', ι', 6 «διὸ πολλοὶ κατὰ μῆνα τίκτειν καὶ ὀχεύεσθαι οἴονται τοὺς τοιούτους τῶν ἰχθύων». Ἀπολλόδ. Β', δ', 7, 1 «ἕνα τῶν ἀστῶν παῖδα οἱ Θηβαῖοι κατὰ μῆνα προετίθεσαν αὐτῇ». Παρὰ τῷ Πλάτωνι Νόμ. σελ. 762 β' εἶνε κατὰ πληθυντικὸν ἀριθμὸν εἰρημένον *κατὰ μῆνΑΣ*. Ἐν τῷ περὶ Ἁλοννήσου λόγῳ τοῦ Ψευδοδημοσθένους § 12 φέρεται «καὶ ἐμπορικαὶ δίκαι οὐκ ἦσαν, ὥσπερ νῦν, ἀκριβεῖς, *αἱ κατὰ μῆνα*», περὶ οὗ γράφει ὁ Φράγκιος «I. q. αἱ ἔμμηνοι, non quod singulis mensibus instituerentur, sed quia intra triginta dies dirimendae erant». Πρβ. καὶ Βαλέσιον εἰς *Ἁρποκρατ.* Τόμ. Β', σελ. 220 Δινδ. Πλείονα περὶ τοῦ πράγματος θὰ εἴπωμεν ἀλλαχοῦ.

Ὁμοίως τῷ *καθ' ἡμέραν*, κτλ. λέγεται καὶ *κατὰ πενθήμερον* καὶ *κατὰ πρυτανείαν* (Ἀριστοτ. Ἀθην. Πολ. Λ' καὶ ΝΔ'. Λυσ. κατὰ Νικομ. 5 καὶ ἄλλ.) καὶ ἕτερα τοιαῦτα. Ἐπὶ τοπικῆς σχέσεως εὑρίσκεται εἰρημένον τὸ *κατὰ στάδιον* καὶ ἄλλα τούτῳ ὅμοια. Παρὰ τῷ Θεοφράστῳ Χαρακτ. ΙΗ' κεῖται «καὶ φέρων αὐτὸς τὸ ἀργύριον *κατὰ στάδιον* καθίζων ἀριθμεῖν».

Θωμᾶς ὁ Μάγιστρος ἀποδοκιμάζει τὸ *κατ' ἔτος* λέγων σελ. 15, 3 «*Ἀμφιέτες*: οὐ *κατ' ἔτος*· ἔστι δὲ ἀντὶ τοῦ κατ' ἐνιαυτόν. Ὡσαύτως

καὶ ἀμφημερινὸν τὸ καθημερινόν». Πρβ. καὶ Μοῖρ. σελ. 45 «*Ἀμφίετες*, Ἀττικῶς· τὸ γὰρ κατ' ἐνιαυτὸν ἀμφίετες λέγεται, ὡς ἀμφημερινὸν τὸ καθημερινόν· τὸ δὲ *κατ' ἔτος* Ἑλληνικῶς». Παρ' οὐδενὶ τῶν ἀρχαίων Ἑλλήνων οὔτε τὸ *ἀμφίετες* εὑρέθη οὔτε τὸ *ἀμφιετεί*, περὶ οὗ γράφει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1385, 1 «καὶ ἐπίρρημα δὲ ἐντεῦθεν παρὰ τοῖς παλαιοῖς *ἀμφιετεί*». Ἴδε Σαλλιῆρον εἰς *Μοῖρ.* σελ. 45 Πιέρσ. Πρβ. καὶ ἃ ἡμεῖς ἐγράψαμεν ἐν ταῖς Γλωσσικαῖς Παρατηρήσεσι σελ. 338.

Ὡς δὲ τὸ *καθ' ἡμέραν* ἐκφέρεται καὶ μετὰ τῆς ἀντωνυμίας *ἑκάστην*, οὕτω καὶ τὸ *κατ' ἔτος* - *κατὰ ἔτος* καὶ *κατ' ἐνιαυτὸν* καὶ *κατὰ μῆνα* μετὰ τοῦ *ἕκαστον*, οἷον

Θουκυδ. Α', 56, 2 «οὓς κατὰ ἔτος ἕκαστον Κορίνθιοι ἔπεμπον» καὶ Β', 31, 3 «ἐγένοντο δὲ καὶ ἄλλαι ὕστερον ἐν τῷ πολέμῳ κατὰ ἔτος ἕκαστον ἐσβολαὶ Ἀθηναίων ἐς τὴν Μεγαρίδα» καὶ Γ', 58, 4 «ἐτιμῶμεν κατὰ ἔτος ἕκαστον δημοσίᾳ» καὶ Δ', 66, 1 «ἀεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐσβαλλόντων πανστρατιᾷ ἐς τὴν χώραν». Γαλην. Τόμ. Ϛ', σελ. 739 «ἐν δὲ τῷ ὄρει τῷ Λιβάνῳ καθ' ἕκαστον ἔτος οὐκ ὀλίγον». Αἰλιαν. Ποικίλ. Ἱστορ. ΙΒ', 61 «καθ' ἕκαστον ἔτος ἐπετέλουν αὐτῷ». Συναγ. Ἐπιγρ. Ἑλλην. Βοικκ. 2448, Β', 7 (Τόμ. Β', σελ. 362) «τελὲν καθ' ἕκαστον ἔτος ἐμ μηνὶ Ἐλευσινίῳ δραχμὰς διακοσίας δέκα» καὶ 31 (σελ. 363) «συναγέσθω — καθ' ἕκαστον ἔτος ἐμ μηνὶ Δελφινίῳ» καὶ Δ', 9 (σελ. 364) «λαμβάνειν καθ' ἕκαστον ἔτος — δραχμὰς διακοσίας δέκα» καὶ 25 (σελ. 365) «τὰν δὲ συναγωγὰν — γίνεσθαι ἐμ μηνὶ Δελφινίῳ — καθ' ἕκαστον ἔτος ἁμέρας τρεῖς» καὶ 3067, 23 (Τόμ. Β', σελ. 656) «στεφανοῦν — καθ' ἕκαστον ἔτος εἰσαεὶ ἐν τῷ θεάτρῳ» (Πρβ. καὶ στίχ. 27) καὶ 3068, Α', 25 (Τόμ. Β', σελ. 660) «τὴν ἐπιμέλειαν καθ' ἕκαστον ἔτος αἰεὶ ποιεῖσθαι τὸν ἀγωνοθέτην» καὶ 2347, γ', 48 (Τόμ. Β', σελ. 278) «ἀναγορεύειν καθ' ἔτος ἕκαστον τὸν ἱεροκήρυκα». Λέγει δὲ καὶ ὁ Φρύνιχος Σοφιστ. Προπαρ. σελ. 35, 30 «Διετησίως: ἀντὶ τοῦ δι' ἔτους, οἷον *καθ' ἕκαστον ἔτος*. Θουκυδίδης καὶ Ἀριστοφάνης». Ὁ Σχουβέιος ἐν *Leipz. Stud.* Τόμ. Δ', σελ. 133-4 μετέβαλε τὸ *διετησίΩΣ* εἰς τὸ *διετήσιΟΣ*. Πρβ. καὶ Κοβητον ἐν *Μνημοσ.* 1886, σελ. 6. Παρὰ τῷ Φιλοστράτῳ σελ. 740 εἶνε ὑπὸ τοῦ Καυσήρου ἐκδε-

δομένον «καθαίρεται μὲν ἡ Λῆμνος *καὶ καθ' ἕνα τοῦ ἔτους* καὶ σβέννυται τὸ ἐν αὐτῇ πῦρ ἐν ἡμέραις ἐννέα». Ἀλλ' ἐν τοῖς ἀντιγράφοις φέρεται καὶ «καθαίρεται μὲν ἡ Λῆμνος *καθ' ἕκαστον ἔτος* καὶ σβέννυται κτέ.», ὃ εὐλόγως ἀποκατέστησεν ὁ Βοισσονάδης ἐν τῇ ἐκδόσει τῶν Ἡρωϊκῶν τοῦ Φιλοστράτου σελ. 232. Πρβ. καὶ σελ. 626-7. Λέγεται καὶ *ἀν' ἕκαστον ἔτος*, ὡς καὶ *ἀν' ἑκάστην ἡμέραν*, οἷον Θεόφρ. περὶ Φυτ. Ἱστορ. Δ', δ', 4 «ἣ καθίησιν ἐκ τῶν κλάδων τὰς ῥίζας ἀν' ἕκαστον ἔτος». Ξενοφ. Κυρ. Παιδ. Η', α', 23 «ἔθυεν ἀν' ἑκάστην ἡμέραν οἷς οἱ Μάγοι θεοῖς εἴποιεν». Πρβ. *ἀνὰ πᾶν ἔτος*, *ἀνὰ πᾶσαν ἡμέραν*, *ἀνὰ πᾶσαν ὥραν*, *ΚΑΤΑ πᾶν ἔτος*. Ἡρόδ. Α', 136 «δῶρα ἐκπέμπει βασιλεὺς ἀνὰ πᾶν ἔτος» καὶ ἀλλ. Συναγ. Ἐπιγρ. Ἑλλην. Βοικκ. 3599, 16 (Τόμ. Β', σελ. 888) «ἀπὸ δὲ τῆς προσόδου γίνεσθαι ἀνὰ πᾶν ἔτος ἐν τῷ Παναθηναίῳ—πομπὴν καὶ θυσίαν τῇ Ἀθηνᾷ». Συλλ. Ἐπιγρ. Ἑλλην. Διττεμβ. 246, 95 (σελ. 359) «στεφανοῦσθαι δὲ αὐτὸν — ἀνὰ πᾶν ἔτος τῆς πανηγύρεως». Ἀνθολογ. Παλατ. Θ', 430, 5 «νηδὺς δὲ τριτοκεῖ ἀνὰ πᾶν ἔτος». Φίλ. Ἰουδ. Τόμ. Δ', σελ. 193 «ἀνὰ πᾶν ἔτος ἑορτὴ καὶ πανήγυρις ἄγεται» (Πρβ. καὶ σελ. 324). Ξενοφ. Κύρ. Παιδ. Α', β', 8 «τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας». Ἀθήν. σελ. 1 δ' «ἃς ἀνὰ πᾶσαν ὥραν ποιεῖται». Ψευδαριστοτ. περὶ Φυτ. Α', 12 (Τόμ. Δ', α', σελ. 25, 30 Διδ.) «καί τινα μὲν κατὰ πᾶν ἔτος γεννῶνται καὶ ξηραίνονται», κτλ. Ὑπὸ τοῦ Ἡροδότου ἐλέχθη καὶ κατὰ πληθυντικὸν ἀριθμὸν «τὴν δὲ ὁρτὴν ταύτην ἄγουσι Ἀθηναῖοι *ἀνὰ πάντα ἔτεα* τῇ Μητρὶ καὶ τῇ Κούρῃ» (βιβλ. Η', 65).

